V. GLOSSA ETYMOLOGICI MAGNI.

p. 764, 1 τραγωιδία ἐστὶ βίων καὶ λόγων ἡρωικῶν μίμησις. κέκληται δὲ τραγωιδία ὅτι τράγος τῆι ὠιδῆι ἆθλον ἐτίθετο· ὠιδὴ γὰρ ἡ τραγωιδία. ἢ ὅτι τρύγα ἆθλον ἐλάμβανον οἱ νικῶντες· τρύγα γὰρ ἐκάλουν οἱ παλαιοὶ τὸν νέον οἶνον. ἢ ὅτι τετράγωνον εἶχον οἱ χοροὶ σχῆμα. ἢ ὅτι τὰ πολλὰ οἱ χοροὶ ἐκ σατύρων συνίσταντο, οὓς ἐκάλουν τράγους σκώπτοντες ἢ διὰ τὴν τοῦ σώματος δασύτητα ἢ διὰ τὴν περὶ τὰ ἀφροδίσια σπουδήν· τοιοῦτον γὰρ τὸ ζῶιον. ἢ ὅτι οἱ χορευταὶ τὰς κόμας ἀνέπλεκον, σχῆμα τράγων μιμούμενοι. ἢ ἀπὸ τῆς τρυγὸς τρυγωιδία. ἦν δὲ τὸ ὄνομα τοῦτο κοινὸν καὶ πρὸς τὴν κωμωιδίαν, ἐπεὶ οὔπω διεκέκριτο τὰ τῆς ποιήσεως ἑκατέρας, ἀλλ' εἰς αὐτὴν ἓν ἦν τὸ ἆθλον ἡ τρύξ· ὕστερον δὲ τὸ μὲν κοινὸν ὄνομα ἔσχεν ἡ τραγωιδία· ἡ δὲ κωμωιδία ὠνομάσθη ἐπειδὴ πρότερον κατὰ κώμας ἔλεγον αὐτὰ ἐν ταῖς ἑορταῖς τοῦ Διονύσου καὶ τῆς Δήμητρος. ἢ παρὰ τὸ κωμάζειν ἡ ἐπὶ τῶι κώματι ὠιδή· ἐπειδὴ ἐπὶ (l. περὶ) τὸν καιρὸν τοῦ ὕπνου τὴν ἀρχὴν ἐφευρέθη. ἢ ἡ τῶν κωμητῶν ὠιδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί. βλαπτόμενοι γάρ τινες γεωργοὶ παρὰ τῶν Ἀθήνησι πολιτῶν κατήιεσαν περὶ τὸν καιρὸν τοῦ ὕπνου, καὶ περιιόντες τὰς ἀγυιὰς ἔλεγον ἀνωνυμὶ τὰς βλάβας ἃς ἔπασχον ὑπ' αὐτῶν, οἷον 'ἐνταῦθα μένει τις τὰ καὶ τὰ ποιῶν'. καὶ ἐκ τούτου ἀνοχὴ τῶν ἀδικιῶν ἐγίνετο.

V. petita haec sive e scholiis in Dionysii Artem sive ex eodem unde illa pendent auctore

11 εἰς αὐτὰς V, fort. ἑκατέρας 13 an αὐτάς? 16 incipit narratio quam pleniorem proposui n. IV p. 12

VI. IOANNIS TZETZAE

IN ARISTOPHANEM BIS BINA PROOEMIA ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ

P a

I § 1—11. *Κωμωιδίαι λέγονται τὰ τῶν κωμικῶν ποιήματα κτλ.*

II 12. *ἐστὶ δὲ κωμωιδία μίμησις πράξεως . . . καθαρτήριος παθημάτων, συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη.* 13. *διαφέρει δὲ τραγωιδία κωμωιδίας ὅτι ἡ μὲν τραγωιδία ἱστορίαν ἔχει καὶ ἀπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γινομένας σχηματίζηι αὐτάς, ἡ δὲ κωμωιδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων· καὶ ὅτι τῆς μὲν τραγωιδίας σκοπὸς τὸ εἰς θρῆνον κινῆσαι τοὺς ἀκροατάς, τῆς δὲ κωμωιδίας εἰς γέλωτα.*

III 14. *καὶ πάλιν καθ᾽ ἑτέραν διαίρεσιν τῆς κωμωιδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον [τὸ δὲ μέσον]. διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμωιδία χρόνωι διαλέκτωι ὕληι μέτρωι διασκευῆι.* 15. *χρόνωι μὲν καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτωι δὲ καθὸ ἡ μὲν νέα τὸ*

VI. Prooemia Pa et Pb nullo auctoris nomine insignita e codice Parisino ed. Cramer An. Par. I 3, ad plurium et meliorum librorum fidem recensuit Studemund Philologi vol. XLVI 1, qui codices hi sunt: Parisinus 2821 (Q) s. XIV vel XV eique similis Vaticanus 62 (R) s. XVI, tum Mutinensis III C 14 (M) s. XV, Parisinus Crameri 2677 (P) s. XVI, denique Vaticanus 1385 (V) s. XV. Ioannes Tzetza prooemii auctor videtur, cf. Comment. soc. Gotting. II 2 a. 1898 p. 3

Pa inscriptum in QR sic: *ἐκ ποίας αἰτίας συνέστη ἡ κωμωιδία*, quae ad solum caput primum pertinent.

caput I in undecim paragraphos a Studemundo divisum ab Diomedis scholio in Dionysii Artem (v. supra p. 12) non diversum.

II 2 *πράξεως ⟨γελοίου⟩* suppl. Bergk, videntur plura praetermissa esse, v. Tract. Coislin. 2 (infra n. X) et schol. Dionys. ed. a Goettlingio Theodos. p. 58, 31 *ἐστὶ δὲ κωμωιδία μίμησις πράξεως καθαρτικῶν παθημάτων καὶ τοῦ βίου συστατική, τυπουμένη δι᾽ ἡδονῆς καὶ γέλωτος· οἷα ἡ τοῦ Ἀριστοφάνους ἢ τοῦ Μενάνδρου. καὶ ἡ μὲν κωμωιδία τὸν βίον συνίστησιν, ἡ δὲ τραγωιδία [δια]λύει καθαρωτέρας* MPV 5 *ἐπαγγελίαν* codd: corr. Bergk 7. 8 eadem Anonymus *περὶ τῆς κωμωιδίας*, supra p. 14b

III eadem Anonymus *π. τ. κωμ.* l. s., cuius e codicibus adnotabo quae utilia esse videntur 9 *καὶ πάλιν*: iungenda haec cum cap. I, quo de tripertita comoedia expositum erat 10 *τὸ δὲ μέσον* del. Meineke [illegible]

σαφέστερον εἶχε, τῆι νέαι κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου· ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσι λέξεις τινάς. ὕληι δὲ καθὸ ⟨ἡ μὲν νέα . . . ἡ δὲ παλαιὰ . . . μέτρωι δὲ καθὸ⟩ ἡ μὲν νέα τῶι ἰαμβικῶι μέτρωι ἐπὶ πλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις, τῆι δὲ παλαιᾶι πολυμετρία τὸ σπουδαζόμενον. διασκευῆι δὲ ὅτι ἐν μὲν τῆι νέαι χορῶν οὐκ ἔδει, ἐν ἐκείνηι δὲ καὶ μάλιστα. 16. καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει· καὶ γὰρ οἱ ἐν τῆι Ἀττικῆι πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμωιδίας (ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα) τὰ πρόσωπα ἀτάκτως εἰσῆγον, καὶ γέλως ἦν μόνος τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῆι κωμωιδίαι πρόσωπα μέχρι τριῶν, στήσας τὴν ἀταξίαν, καὶ τῶι χαρίεντι τῆς κωμωιδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράσσοντας διαβάλλων καὶ ὥσπερ δημοσίαι μάστιγι τῆι κωμωιδίαι κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ἠρέμα πως τῆς ἀταξίας· ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τὴν κωμωιδίαν τῶν μεθ' ἑαυτοῦ ἀνέλαμψεν ἐν ἅπασιν ἐπίσημος φανείς.

IV 17. ὁ δὲ γέλως τῆς κωμωιδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν· ἐκ μὲν τῶν λέξεων κατὰ τρόπους ἑπτά· πρῶτον καθ' ὁμωνυμίαν ὡς τὸ 'διαφορουμένοις'· σημαίνει γάρ τό τε διαφό-

---

14 *εἶχε* scripsi: *ἔσκε* codd, *ἔχει* vel *ἔσχε* Anon. 15 *τοῦ λέγειν* rectius fort. Anon. codices G (Venetus) V(aticanus) E(stensis) *ἐπιτηδεύουσι καὶ* Anon. UE, *καὶ ἐπιτηδεύει* G 16 lacuna supplenda ad Euanthii verba infra n. XII p. 64, 68 16 sq. *ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικόν, σπανίως δὲ μέτρον ἕτερον* (*περὶ τὸ ἕτερον μέτρον* U) Anon. 18 *ἐν δὲ τῆι παλαιᾶι* Anon. 19 *χοροῦ* Anon. *δὲ καὶ μάλιστα* Q: *δὲ μάλιστα* RMPV, *δὲ δεῖ* Anon. 20. 21 *ἐν Ἀττικῆι* QV et Anon. 22 *περὶ Σαννυρίωνα* Anon. *εἰσῆγον ἀτάκτως* Anon. 22. 23 *καὶ μόνος ἦν γέλως* Anon. 24 *συστήσας* Anon. plerique libri 26 *πράττοντας* Anon. 27 fort. *ἀλλ' ἔτι μὴν* 29 *τὴν κωμ. τῶν μεθ' ἑαυτοῦ* scripsi: *τῶν μεθ' ἑαυτοῦ τὴν κωμ.* Anon. *τὴν κωμ. ἐν ταύτηι* Tzetzae codd. *ἐνέλαμψεν* Anon. 30 *φανείς*: *ὀφθεὶς οὕτω* (hoc om. U), *καὶ οὕτω πᾶσαν κωμωιδίαν ἐμελέτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ Πλοῦτος νεωτερίζει κατὰ τὸ πλάσμα· τήν τε γὰρ ὑπόθεσιν ὡς ἀληθῆ ἔχει καὶ χορῶν ἐστέρηται, ὅπερ τῆς νεωτέρας ὑπῆρχε κωμωιδίας* Anon. quae sunt illius additamenta qui Plutum fabulam interpretaturus haec praefatus erat

IV eadem Duebneri Anon. VI, cuius codices VGΘM(ediolanensis); in ΘM hoc caput post Anon. IV (supra p. 12) sequitur, quocum arta argumenti necessitudine coniunctum est 31 *ὁ δὲ γέλως* Tzetza et Anon. cod. M: *ὅτι ὁ γέλως* Anon. reliqui libri 32 *τῆς λέξεως* Anon. rectius, sicut etiam v. 31 praestat *λέξεως* scribere 33 sq. *διαφορουμένοις* (vel *-μενος*) *οἷον τὸ μέτρον. δεύτερον* Anon. omissis quae intermedia erant 33. 34 *διάφορος inimicus* et *τὸ διάφορον lucrum*, quamquam neutrum verbo *διαφορεῖσθαι* exprimi poterat

ροις οὖσι καὶ τὸ ἐπικερδέσι. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ ʻἥκω καὶ κατέρχομαιʼ (Arist. Ran. 1156)· ταὐτὸν γάρ ἐστι. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῶι αὐτῶι ὀνόματι πολλάκις χρήσηται. τέταρτον κατὰ παρωνυμίαν, ὡς ὅταν τῶι κυρίωι ⟨τῶν⟩ ἔξωθέν τις καθάπτηται, ὡς τὸ ʻΜώμαξ καλοῦμαι μίδαςʼ. πέμπτον κατὰ ὑποκορισμόν, ὡς τὸ ʻΣωκρατίδιονʼ ʻΕὐριπίδιονʼ (Ar. Nub. 222. Ach. 475). ἕκτον κατὰ ἐναλλαγήν, ὡς τὸ ʻὦ Βδεῦ δέσποταʼ ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως· τοῦτο δὲ ἢ φωνῆι γίνεται ἢ τοῖς ὁμογενέσιν. 18. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο· πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψύλλης λόγους (Arist. Nub. 145). δεύτερον κατὰ ὁμοίωσιν· ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλῆν, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν (Ar. Ran. 495. 499).

Pb

I 19. Ἰστέον ὅτι Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου προτραπέντες τὰς σκηνικὰς διώρθωσαν βίβλους, Λυκόφρων μὲν τὰς τῆς κωμωιδίας, Ἀλέξανδρος δὲ τὰς τῆς τραγωιδίας, ἀλλὰ δὴ καὶ τὰς σατυρικάς. 20. ὁ γὰρ Πτολεμαῖος φιλολογώτατος ὢν διὰ Δημητρίου τοῦ Φαληρέως καὶ ἑτέρων ἐλλογίμων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν συνήθροισεν καὶ δυσὶ βιβλιοθήκαις ταύτας ἀπέθετο· ὧν τῆς ἐκτὸς μὲν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι, τῆς δὲ τῶν ἀνακτόρων ἐντὸς συμμιγῶν μὲν βίβλων ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἀμιγῶν δὲ καὶ ἁπλῶν μυριάδες ἐννέα· ὧν τοὺς πίνακας ὕστερον Καλλίμαχος ἀπεγράψατο. 21. Ἐρατοσθένει δὲ ἡλικιώτηι Καλλιμάχου παρὰ τοῦ βασιλέως τὸ τοιοῦτον ἐνεπιστεύθη βιβλιοφυλάκιον. τὰ δὲ συνηθροισμένα βιβλία οὐχ Ἑλλήνων μόνον ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν ἦσαν καὶ δὴ καὶ Ἑβραίων αὐτῶν. τὰς δὴ οὖν

---

36 πολλάκις om. Q et Anon. cf. Aristot. Soph. elench. p. 165b 15 37. 38 ἔξωθέν τι κατάθηται Tzetzae codd, ἔξωθέν τις (τι G) ἅπτηται Anon. emendatio imperfecta, sensus hic ʻsi quis proprio nomine enuntiato simul aliud quid per adnominationem significaveritʼ, cf. Rhet. ad Herenn. p. 320, 10. Tiberius de fig. Dem. 27 38 μώμαξ Q et Anon. (βώμαξ U): μίμαξ MPV; Μώμαξ καλοῦμαι Μειδίας Meineke, sed requiritur gentile velut Μωμίδης 40 ad Arist. Lys. 940 referri voluit Dindorf 41 γίνεται ἡ φωνῆι Anon. 43 ψυχῆς traditum

Pb servata haec in MPV, distincta a superioribus in M, desunt in QR
I similia v. Ma et Mb [illegible]

τῶν ἄλλων ἐθνῶν σοφοῖς ἀνδράσιν ἐξ ἑκάστου ἔθνους τήν τε οἰκείαν φωνὴν τήν τε τῶν Ἑλλήνων καλῶς εἰδόσι τὰς ἐξ ἑκάστου ἐγχειρίσας οὕτως ἑρμηνευθῆναι αὐτὰς πεποίηκεν εἰς τὴν Ἑλλάδα γλῶτταν· ὅτε δὴ καὶ τὰς τῶν Ἑβραίων διὰ τῶν ἑβδομήκοντα ἑρμηνευθῆναι πεποίηκεν. οὕτω μὲν οὖν μετενεχθῆναι τὰς τῶν ἄλλων ἐθνῶν εἰς τὴν Ἑλλάδα φωνὴν πεποίηκε· τὰς δέ γε σκηνικὰς Ἀλέξανδρός τε, ὡς ἔφθην εἰπών, καὶ Λυκόφρων διωρθώσαντο, τὰς δὲ [γε] ποιητικὰς Ζηνόδοτος πρῶτον καὶ ὕστερον Ἀρίσταρχος διωρθώσαντο. 22. *καίτοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὑτωσὶ σποράδην οὔσας τὸ πρίν· ἐπεκρίθησαν δὲ κατ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ᾽ Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων. οἱ δὲ τέσσαρσί τισι τὴν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτηι, Ζωπύρωι Ἡρακλεώτηι, Ὀνομακρίτωι Ἀθηναίωι καὶ Ἐπικογκύλωι.* 23. *ὕστερον δὴ ταύτας ἁπάσας σκηνικάς τε καὶ ποιητικὰς πλεῖστοι ἐξηγήσαντο, Δίδυμος, Τρύφων, Ἀπολλώνιος, Ἡρωιδιανός, Πτολεμαῖος Ἀσκαλωνίτης, καὶ οἱ φιλόσοφοι Πορφύριος, Πλούταρχος καὶ Πρόκλος, ὡς καὶ πρὸ αὐτῶν πάντων Ἀριστοτέλης.*

II 24. *ἔτι ἰστέον ὅτι ἡ πρώτη κωμωιδία, ἧς τὰ σκώμματα φανερὰ κατὰ πάντων ἦσαν πολιτῶν, μέχρι Εὐπόλιδος διήρκεσεν. ἐπεὶ δὲ οὗτος εἰς Ἀλκιβιάδην ὕβρισεν ὄντα τότε στρατηγὸν καὶ διελοιδορήσατο αὐτῶι, ὧν τότε Ἀλκιβιάδης ἐμπαράσκευος πρὸς πόλεμον ὡς ναυμαχίας προσδοκωμένης κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν· οἱ δὲ συλλαβόντες, ὥς μέν τινές φασιν, παντελῶς ἀπέπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν, ὡς δ᾽ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνωι ἀνῆγόν τε καὶ κατῆγον εἰς τὴν θάλασσαν, οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς, τοῦ Ἀλκιβιάδου λέγοντος ʻβάπτ᾽ ἐμὲ σὺ θυμέλαις, ἐγὼ δὲ σὲ ἁλμυροῖς ὕδασι κατακλύσωʼ. καὶ οὕτω δὴ ἢ διαφθαρέντος τοῖς κύμασι παντελῶς ἢ καὶ περισωθέντος ψήφισμα ἔθετο Ἀλκιβιάδης μηκέτι φανερῶς ἀλλὰ συμβολικῶς κωμωιδεῖν.* 25. *τότε δὴ αὐτός τε ὁ Εὔπολις καὶ Κρα-*

---

15 *ἐξ ἑκάστου ἔθνους* om. P 20 *δέ γε* MV: *δὲ* P 21 *δέ γε* MV: *δὲ* P *ποιητικάς* i. e. epicorum carmina 29 *καὶ καγ ἐπὶ κογκυλω* P; quartum nomen a Byzantinis inepte fictum, ansam coniecturae *ὁ ἐπικὸς κύκλος* dedit; in P docta sed infelix coniectura adnotata *ἀθηνοθωρω επικλην κορδυλίωνι*

II eadem paullo aliter narrata p. 28, 1, cf. p. 4, 19 et schol. Aristid. III 444 Di: *ἄλλοι δὲ λέγουσιν ὅτι ἐκωμώιδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος· περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ. κωμωιδηθεὶς γὰρ παρὰ Εὐπόλιδος ἔρριψεν αὐτὸν ἐν τῆι θαλάττηι κτλ.* 34 *τῶν πολιτῶν* V *οὗτος* p. 28, 1: *αὐτὸς* MPV 39 altera fabulae forma adinventa postquam priorem damnavit Eratosthenes, cf. ad p. 4, 20

τῖνος καὶ Φερεκράτης καὶ Πλάτων καὶ Ἀριστοφάνης αὐτὸς τὰ συμβολικὰ μετεχειρίσαντο σκώμματα· ἡ δὴ δευτέρα κωμωιδία ἐλέγετο, μέχρι οὗ μηδὲ συμβολικῶς ἐθελόντων τῶν πολιτῶν σκώπτεσθαι εἰς δούλους μόνους καὶ ξένους ἔσκωπτον· ἡ δὴ τρίτη ἦν κωμωιδία, αὐξηθεῖσα ἐπὶ Μενάνδρου καὶ Φιλήμονος.

III 26. ἴδιον δὲ κωμωιδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγωιδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰν καταντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ Σοφοκλέους Ἠλέκτρα ἐκ μέρους, ὥσπερ τινές φασιν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα. 27. οἷον Ἡρακλῆς πραθεὶς τῶι Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλληι προρρίζους τὰς ἀμπέλους νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῖ ἀγροῦ θωμούς τε μεγάλους ἐποίησε καὶ τὸν κρείττω τῶν βοῶν θύσας καὶ τὸν πιθεῶνα διαρρήξας καὶ τὸν κάλλιστον πίθον ἀποπωμάσας τὰς θύρας τε ὡς τράπεζαν θεὶς ἤσθιε καὶ ἔπινεν ἄιδων, καὶ τῶι προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας. καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν. ἐστὶ δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα. τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. 28. τέλος δὲ τραγωιδίας μὲν λύειν τὸν βίον, κωμωιδίας δὲ συνιστᾶν αὐτόν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεντισμοῖς καθηδύνειν αὐτόν. λυρικοὶ δὲ οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπήινουν ἢ τὸν Διόνυσον ὕμνουν ἢ ἑτέρους θεούς.

IV 29. ἔτι ἰστέον ὅτι κατὰ Διονύσιον καὶ Κράτητα καὶ Εὐκλείδην μέρη κωμωιδίας εἰσὶ τέσσαρα· πρόλογος, μέλος χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῖ τῆς εἰσόδου. ἡ δὲ ἅμα τῆι εἰσόδωι τοῦ χοροῦ λεγομένη ῥῆσις μέλος καλεῖται χοροῦ. ἐπεισόδιον δέ ἐστι τὸ μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορικῶν. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῶι τέλει τοῦ χοροῦ ῥῆσις. 30. μέρη δὲ παρα-

III eadem fere Mb p. 33 (significantur Ma et Mb Tzetzae prooemia Mediolanensia, infra p. 24 sqq.) 55 *ἐστάλη* Mb 56 *ἀμπέλους ἁπάσας* Mb 57 *θωμούς τε* Nauck: *ἄρτους τε* MPV, *ψωμοὺς* Mb 58 *ἐποίησε τὸν κρείττω τε τῶν βοῶν θύσας κατεθοινᾶτο, καὶ τὸν πιθεῶνα δὲ διαρρήξας* Mb 62 *κατέκλυσεν ὁ δοῦλος ἐκεῖνος, ὁ τεχνικώτατος γεωργός* Mb 62. 63 *ἐστὶ δὲ ... δρᾶμα* om. Mb 66 *διθυραμβικοί* Bergk

IV eadem Ma c. 5 (et Mb c. 5) et Tzetzae Iamb. de com. infra n. VIII 11 sqq., praeterea Tract. Coisl. infra n. X § 8 68 tria auctorum nomina omissa in Tzetzae Iambis 72 *ἐστὶ μέλος μεταξὺ μελῶν κ. ῥήσεων δύο χορῶν* MPV itemque Ma, *λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο* Iambi: correctum ex Tract. Coisl. § 9 *ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν* 73 sq. cf. Iamb. v. 40 sqq. et quae Vitae

βάσεως ἑπτά· ἑπτάκις γὰρ ὁ χορὸς ὠρχεῖτο ἐπειδὰν εἰς τὴν ὀρχήστραν εἰσήρχετο, ἣν δὴ καὶ λογεῖον καλοῦσιν. ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῶι γένει ἐκαλεῖτο (καὶ γὰρ τὸ ὅλον τοῦτο τὸ ἑπτάστροφον σχῆμα παράβασις ἐκαλεῖτο), ἡ δὲ τρίτη μακρόν, ἡ δὲ τετάρτη ὠιδὴ καὶ στροφή, ἡ δὲ πέμπτη ἐπίρρημα, ἡ δὲ ἕκτη ἀντωιδὴ καὶ ἀντίστροφος, ἡ δὲ ἑβδόμη ἀντεπίρρημα. 31. *εἰσελθὼν οὖν ὁ χορὸς εἰς τὴν ὀρχήστραν μέτροις τισὶ διελέγετο τοῖς ὑποκριταῖς καὶ πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμωιδίας· ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἁψῖδος ἔβαινεν, ἂν δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς. τετραγωνιζόμενός τε ὁ χορὸς πρὸς μόνους ἑώρα τοὺς ὑποκριτάς. ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν ἐκ τετραμέτρων δεκαὲξ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος· ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον· ὅλη δὲ ἡ πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις.* 32. *συμβαίνει δὴ τὸ ἐπίρρημα πέντε σημαίνειν, αὐτό τε τὸ οἰκεῖον σημαινόμενον καὶ τὴν στροφὴν καὶ ἀντίστροφον καὶ ὠιδὴν καὶ ἀντωιδήν, ἐπειδὴ ἡ μὲν στροφὴ τὴν ὠιδὴν σημαίνει, ἡ δὲ ἀντίστροφος τὴν ἀντωιδήν.*

V 33. *γένοιτο δ' ἂν σαφεστέρα ἡ τῶν τοιούτων διδασκαλία ὧδέ πως. ἐν ἐαρινῶι καιρῶι πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς καὶ μελαίναις βύρσαις τε παταγούσαις καὶ χειροτινάκτωι πυρί, ὀρύγμασί τε καταγαίοις καὶ ὑπογαίοις καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον θαλάσσης, Ταρτάρου Ἅιδου, κεραυνῶν καὶ βροντῶν, γῆς*

---

74 confunditur cum parabasi parodus 76 commation omissum Ma et in Iambis (v. 44) 79 sqq. cf. Duebneri Anon. VII, ubi sic: *ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῆι ὀρχήστραι τῶι νῦν λεγομένωι λογείωι* (cf. supra v. 75), *καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξήιει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα* (haec corrupta; sensus hic 'post stropham tetrametri recitabantur'). *εἶτα τὴν ἀντίστροφον ἀποδόντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων· ἦν δὲ ἐπὶ τὸ πλεῖστον ιϛʹ. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα· ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις· Ἀριστοφάνης ἐν Ἱππεῦσιν* (507) '*εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμωιδοδιδάσκαλος ἡμᾶς ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι*'. rectius Et. M. 363, 46 *ἐπιρρήματα· ἐν τοῖς χορικοῖς ὅτε στροφὴν ἄισειαν μέλος* (l. *μέλους*, cf. Hephaest. p. 139, 18), *ἐπέλεγον ποιημάτιον ιϛʹ στίχων· εἶτα τὴν ἀντίστροφον ἀποδόντες ἐπέλεγον πάλιν τετράμετρον ποιημάτιον τῶν ἴσων στίχων· ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα* 89 sqq. cf. Ma § 23

V eadem Mb c. 4 93. 94 *ὠδέ πως* P 94 *πρῶτον μὲν ἐν ἐαρινῶι τῶι καιρῶι πολυαναλώτοις δαπάναις* Mb

καὶ νυκτός, οὐρανοῦ ἡμέρας, καὶ ἀνακτόρων καὶ πάντων ἁπλῶς. αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἀψῖδας εἰς τύπον ὁδῶν. διὰ μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ καὶ θέατρα· ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρων ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

VI 34. τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς. σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα. ταῦτα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δεκαὲξ ἦσαν, ὁ κωμικὸς δὲ εἶχεν εἰκοσιτέσσαρα· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων τὰ οἰκεῖα τῶι καθ' ἑνὶ αὐτῶν καὶ οἰκείωι ἠθροισμένα δρῶντά τι χορὸς ἐκαλεῖτο. 35. διαιρεθεὶς δὲ ὁ χορὸς εἰς τμήματα δύο ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ καθ' ἕνα ἐτέμνετο, ὑποκριταὶ ἐκαλοῦντο κοινῶι τῶι ὀνόματι διὰ τὸ μὴ δύνασθαι μιᾶι κλήσει περιειλῆφθαι ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλά, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεοὺς καὶ εἰς ἄλλα μυρία. 36. τούτων οὖν τῶν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον — ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις εἴσοδος καὶ ἐπήλυσις καὶ ἐπίβασις καὶ πάροδος καὶ παράβασις — εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν. ἐξελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερόν, καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσιν· εἶτα ἐξήρχετο καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. ταῦτα μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, παράβασις, στροφή, ἀντίστροφος καὶ ἔξοδος. 37. καὶ λογικὰ δὲ μέρη αὐτῆς τέσσαρα· ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρό-

---

VI eadem Mb c. 5   106 *πρόσωπα δὲ τοῖς* Mb   107 *δὴ* om. Mb   109 *οἰκείως* V corr   *ἠθροισμένως* Mb, verba corrupta huius fere sententiae *εἴτε οἰκείως τῶι καθ' ἑνὶ αὐτῶν εἴτε οἰκείως ἠθροισμένοις δρῶντά τι*   110 *εἰς μὲν τμήματα* Mb   111 *εἰ δὲ εἰς ἕνα ἕνα ἐτμήθη καὶ μερικόν* Mb, fort. *εἰ δὲ εἰς ἕνα καθ' ἕνα*   *ἁπλῶς ἐκαλοῦντο* Mb   112 *περιληφθῆναι* Mb   113 *εἰς πόσα;* Mb   115 *καὶ* om. Mb   117 cf. supra v. 75. 80   117 sq. *τὴν δὲ εἰσέλευσιν ταύτην οὐ μέλον ἐστί μοι ὅπως ἂν καὶ καλέσειας, εἴτε εἴσοδον ἢ εἰσέλευσιν ἢ ἐπήλυσιν ἢ ἐπίβασιν ἢ πάροδον ἢ παράβασιν ἢ ἄλλως πως σημαίνων ταὐτό* Mb   119 post *ὀρχήστραν* addit Mb *τοῦτο τὸ σύστημα πᾶν, ὃ καὶ χορὸς ἐκαλεῖτο*   120 *λόγους* (sine articulo) Mb   124 *οὖν* om. Mb   125 *δὲ* om. Mb   126 *αὐτῆς* i. e. *τῆς κωμωιδίας*, neque opus *αὐτοῦ* corrigere

λογος, ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδὴ ἢ ἐπίρρημα καὶ ἀντεπίρρημα, ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον. ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικὰ καὶ λογικὰ τῶν δραματικῶν ποιημάτων ὑπῆρχεν. 38. *τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφή, ἀντίστροφος καὶ ἔξοδος ἢ ἐξέλευσις πρακτικά, λογικὰ δὲ ᾠδή, ἀντῳδὴ καὶ ἐπῳδός· ἡ οὖν ἀντῳδὴ τῆι ᾠδῆι ἰσαρίθμους ἔχει τοὺς στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται. ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῶι ἀριθμῶι καὶ τῆι ποιότητι· εἰ δέ που τῶι ἀριθμῶι ἰσάζει, τῆι γε μὴν ποιότητι οὐδαμοῦ.* 39. *ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες πρῶτον μὲν τὴν ᾠδήν, εἶτα τὴν ἀντῳδήν, ἐπὶ δὲ τῶι τέλει τὸν ἐπῳδὸν ἤγουν ὑστερῳδήν τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περικλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῶι εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον.*

M a

Βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ' ὑποφήτην.

p. 110 K I 1. *Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεύς, μεγαλοδωρίαις βασιλικαῖς προτραπέντες Πτολεμαίωι τῶι Φιλαδέλφωι τὰς σκηνικὰς διωρθώσαντο βίβλους, τὰς τῆς κωμῳδίας καὶ τραγῳδίας καὶ τὰς τῶν σατύρων φημί, συμπαρόντος αὐτοῖς καὶ συνανορθοῦν-*

---

127 sq. *καὶ ἀντὶ τῆς στροφῆς καὶ τῆς ἀντιστρόφου λόγια (κἂν ᾠδὰς καὶ ἀντῳδὰς ἢ ἐπιρρήματα καὶ ἀντεπιρρήματα εἴποις, οὐ διαμάχομαι), καὶ ἡ ἔξοδος ἡ ᾠδὴ καὶ τὸ ῥῆμα τοῦ δράματος τὸ ἐπιτελεύτιον, ἃ οἱ αἰθέριοι καὶ οὐρανοβάμονες λαλοῦσιν ὥσπερ λαλοῦσιν κτλ.* **Mb** partim corrupta 132 sqq. *στροφικὸν καὶ ἀντιστροφικὸν λόγια, ἑκάτερον ἑκατέρωι ἰσαρίθμους ἔχον τοὺς στίχους, καὶ μέτρων δὲ τῶν αὐτῶν. πρὸς τοῖς στροφικοῖς δὲ καὶ ἀντιστροφικοῖς τρίτον ἦν μέρος τὸ ἐπῳδικὸν λόγιον, ὁμωνύμως καὶ ταῦτα λεγόμενα τοῖς ἑαυτῶν πρακτικοῖς τῆι τε στροφῆι καὶ ἀντιστρόφωι καὶ ἐπῳδῶι ἤτοι ἐξόδωι καὶ ἐξελεύσει καὶ ἐπιλόγωι. καὶ γὰρ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερον μέρος τοῦ δήμου ὁρῶντες ἐφθέγγοντο τὰ ποιήματα, καὶ τέλει τοῦ δράματος μέλλοντες παύεσθαι τὸν ἐπῳδὸν ἐπεφθέγγοντο ἤτοι τὴν ὑστέραν ᾠδήν τε καὶ τὸν ἐπίλογον, εἰς εὐχὰς κτλ.* **Mb** 133 *τοὺς* V, om. P: *τε* M 138 *ὑστερεωδήν* MP, rectius fort. *ὑστέραν ᾠδήν* **Mb**

M a b duo haec prooemia servavit codex Ambrosianus C 222 ord. inf. (A), unde edidit HKeil Mus. Rhen. VI (1848) p. 108 sqq. iteravitque in Ritschelii Opusc. I 199; melius descripta repetiit EMiller Iourn. des Savants 1870 p. 169, ad codicis fidem correxit WStudemund Anecd. var. I 251, emendabat ANauck ad Lex. Vind. p. 237.

I cf. **P b** § 19. **M b** § 8 2 i. e. *ὑπὸ Πτολεμαίου*

τος καὶ τοῦ [τοιούτου] βιβλιοφύλακος τῆς τοσαύτης βιβλιοθήκης Ἐρατοσθένους· ὧν βίβλων τοὺς πίνακας Καλλίμαχος ἀπεγράψατο. Ἀλέξανδρος ὤρθου τὰ τραγικά, Λυκόφρων τὰ κωμικά· νεανίαι ἦσαν Καλλίμαχος καὶ Ἐρατοσθένης. 2. οὗτοι μὲν τὰς σκηνικὰς διωρθώσαντο βίβλους, ὡς τὰς τῶν ποιητῶν ἐπεσκέψαντο Ἀρίσταρχός τε καὶ Ζηνόδοτος. ὕστερον δὲ ταύτας ἁπάσας πολλοὶ ἀνεφάνησαν ὑποφητεύοντες καὶ ἐπεξηγούμενοι, Δίδυμοι, Τρύφωνες, Ἡρωδιανοί, Ἀπολλώνιοι, Πτολεμαῖοί τε Ἀσκαλωνῖται καὶ οἱ Κυθήριοι. πρότερος δὲ ἦν Ζηνόδοτος ὁ Ἐφέσιος, ε΄ δὲ ἢ δ΄ μετ᾽ αὐτὸν ὁ Ἀρίσταρχος, 'ἄλλη τ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων' (B 804). 3. μεθ᾽ οὓς καὶ οἱ φιλόσοφοι Πορφύριος, Πλούταρχος, Πρόκλος, ὡς καὶ πρὸ πάντων p. 111 K αὐτῶν καὶ πρὸ τῶν χρόνων τῶν Πτολεμαίων φιλοσόφων ἑτέρων μερὶς οὐ μετρία καὶ ὁ ἐκ Σταγείρων αἰθέριος νοῦς, ὁ τοῖς νέοις σοφοῖς τοῖς ἀνεγνωκέναι μαθήματα λέγουσι — τὰς τούτου βίβλους οὕτω κατονομάζουσι — διδάξας τὰς νυκτερίδας λέγειν εἶναι τετράποδας (de incessu anim. p. 714 b 13), καὶ ὡς ὀστέον ἔχουσιν αἱ τῶν ἵππων καρδίαι καὶ βοῶν δέ τινων (h. an. p. 506 a 9), καὶ ὡς ἕτερον τὸ πῖόν ἐστι καὶ ἄλλο τὸ πιμελές (distinguitur ἡ πιμελή et τὸ στέαρ ibid. p. 520 a 6), καὶ ὅτι τὰ γαμψώνυχα οὐκ ὀχευτικά (de gen. an. p. 749 b 10), τῆς ἱέρακος τεσσαρακοντάκις μιᾶι ῥοπῆι ἐπιβαινομένης, καὶ ὅτι τῶν ὀρνέων βαρὺ καὶ πτητικὸν ἡ περιστερά (ibid. p. 749 b 11), καὶ ὅτι τῶν ἀναίμων οὐδὲν ὠιοτοκεῖ (p. 751 a 34), τοῦ πολύποδος ἀναίμου τε ὄντος καὶ τόσον γόνον ὠιοτοκοῦντος, ὡς ἑ ἐχῖνός τε ὠιὰ πέντε γεννᾶι (de part. an. p. 680 b 4), ἓν δὲ τὸ ὄστρεον (ibid.), καὶ ὡς ὀδόντας ἔχει ἡ μέλισσα (ibid. p. 678 b 14), καὶ ἅττα τοιαῦτα μυρία ἔν τε θεωρητικοῖς ⟨καὶ⟩ πρακτικοῖς καὶ ὀργανικοῖς τούτου συγγράμμασιν. 4. ἃ μόνοις τοῖς ἀνεγνωκέναι βοῶσι μαθήματα δοκοῦσι θεσπέσιά τε εἶναι καὶ ἀτρεκέστατα, ἀπὸ [δ᾽] αὐτῶν τῶν ἔργων ἐληλεγμένοις ἢ μηδὲ ὅλως ταῦτα θεάσασθαι ἢ καὶ θεασαμένοις καὶ ἀναγνοῦσιν ἀναισθήτως ἔχειν τὰ μάλιστα· ταῦτα τοῖς τοιούτοις κομψοῖς καὶ οὐρανοβάμοσι σοφά τε καὶ ὄντως ὄντα δοκείτων καὶ ἀληθέστατα, ἡμῖν δὲ τοῖς περιπεζίοις τε καὶ ὑλαίοις καὶ μηδαμῆι μηδαμῶς μηδὲ ἓν βιβλιδάριον ἀναγνοῦσι πάντη ἔκφυλά τε δοκοῦσι καὶ ἀποδάσμια καὶ ἀληθείας πορρωτάτω ἐκτρέχοντα καὶ κωμωιδίας ἐπάξια

---

5 *τοιούτου* spurium videtur 8 *καλλίμαχος* A, cui superscriptum *γρ. σώστρατος* 11. 12 *ἀπολλώνιοι* A, cui superscr. A² *ἡρωδιανοῦ πατήρ* 17 *ὁ αἰθέριος νοῦς* aliunde petitum; ceterum similis invectiva apud Athen. VIII 352 d 25 A¹ in marg. *σχόλιον· τὸν στρουθὸν οἶδε καὶ τὰ βρεφύλλια* 38 *ἀποδάσμια* non intelle

ὡς ‘τρισάθλια καὶ τρισταλαίπωρα’ (Menandri fr. 452 K) ἔκγονα φρενὸς ἐξεστηκυίας, πεπαταγμένης καὶ ἀπαγοῦς. 5. δεινὸν γὰρ ἂν εἴη καὶ ἄτοπον, εἰ Εὐριπίδης οὐκ ὢν φιλόσοφος ἐκωμωιδήθη ‘σώφρων μᾶλλον’ εἰπών (Alc. 182. Arist. Eq. 1252), ὁ πανδαὴς δὲ καὶ αἰθέριος καὶ πάντας ἁπλῶς σοφοὺς διασύρων ‘ψυχὴν ἀθανατωτέραν’ εἰπὼν (Aristot. de an. p. 411 a 11) καὶ μυρία μυριάκις ἕτερα ἄτοπα, εἰ μὴ κἂν ὡς ἀφιλόσοφος Εὐριπίδης. ἀλλά μοι παρατροχάσαντι τόσον πάλιν ἀναληπτέον τοῦ λόγου τὰ καίρια.

p. 112 K II 6. αἱ σκηνικαὶ βίβλοι, ὧν καὶ αἱ τῆς κωμωιδίας εἰσίν, ὡς καὶ προλαβὼν πρότερον εἴρηκα, καὶ ὠρθώθησαν καὶ πολλοῖς ἀνδράσιν ἐπεξηγήθησαν, καὶ ἥκιστον ἢ ἐλάχιστον τὸ ἐπιλήψιμον ἔχουσιν. 7. ἐπεὶ δὲ Σαπφὼ σὺ τὴν ἐμὴν ἐθέλεις τῶι νῦν ἐμφιλοχωρῆσαι συγγράμματι, καὶ τὴν Γοργὼ δὲ τὸ Κλεομένους θυγάτριον, Πειθώ τε καὶ τὴν μεγαλοπρεπεστάτην Πολύμνιαν καὶ Ἀφροδίτην λόγου καὶ Χάριτας περιχορεῦσαι τὸ ἐναρμόνιον, ‘τοὶ μὲν ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον’ (*Α* 76. *Ζ* 334). 8. ἱστορία (cf. Herod. II 134). ἡ Σαπφὼ μελῶν λυρικῶν ὑπῆρχε ποιήτρια, Μιτυληναία οὖσα τῶι γένει, Σκαμανδρωνύμου θυγάτηρ. Χάραξος δὲ ἦν αὐτῆς ἀδελφός, ὃς τὴν ‘Ροδῶπιν τὴν ἑταιρίδα ἐκ Ξάνθου ὠνήσατο, Ἰάδμονος δούλην ὑπάρχουσαν, σύνδουλον δὲ τοῦ λογοποιοῦ καὶ μυθογράφου Αἰσώπου, καὶ ταύτηι συνῆν. καὶ τούτου ἕνεκεν ἡ ἀδελφὴ τούτου Σαπφὼ μέλει ἑνὶ τῶν αὐτῆς καθάπτεται οὐ μετρίως. 9. ἱστορία (cf. Herod. V 51. VII 239. VI 75). Γοργὼ δὲ θυγάτηρ ἦν Κλεομένους τοῦ Σπαρτιατῶν βασιλέως, γυνὴ δὲ Λεωνίδου ἐκείνου τοῦ βασιλέως καὶ στρατηγοῦ, πάνυ ἐχέφρων καὶ νουνεχής. καὶ γὰρ ἐνναετὴς οὖσα ἔπεισε πατέρα τὸν ἑαυτῆς μὴ πεισθῆναι Ἀρισταγόραι τῶι ‘Ιστιαίου γαμβρῶι καὶ ἀνεψιῶι, εἰποῦσα ‘ἀπατήσει σε ὁ ξένος, πάτερ, εἰ μὴ ἀποστῇς ἀπ’ αὐτοῦ’. καὶ ὕστερον δὲ παρὰ Δημαράτου γράμμα σταλὲν πίνακι κεκηρωμένωι διὰ φόβον ὁδοφυλάκων, δηλοῦν δὲ τοῖς Λάκωσι πάντα τὸν Ξέρξου σκοπόν, μηδενὸς δέ τι γνῶναι ἰσχύοντος, αὕτη τοῖς Λάκωσιν εἶπε, καὶ ξέσαντες τὸν κηρὸν εὗρον γράμματα δηλοῦντα τὸν Ξέρξου σκοπόν. τοιαύτη μὲν ἦν ἡ Γοργώ· ὁ δὲ ταύτης πατὴρ Κλεομένης μανεὶς μεληδὸν ἑαυτὸν κατέτεμεν, ἀπὸ κνημῶν ἀπαρξάμενος μέχρι γαστρὸς καὶ ἐντοσθίων αὐτῶν. 10. ἱστορία. ἡ Πειθὼ μία ἐστὶ
p. 113 K τῶν Χαρίτων, ἡ Πολύμνια δὲ μία ἐστὶ τῶν Μουσῶν. οὕτω μὲν ταῦτα καθ’ ἱστορίαν καὶ πραγματικῶς ἔχουσιν. ἐγὼ δὲ χαριεντιζό-

---

45 *εἰ μὴ κτλ.* haec corrupta   50 *σχόλιον περὶ τῆς σαπφοῦς* A[1] in margine; quo tamen consilio haec interiecta sint continuae narrationi, vide lepidam ipsius Tzetzae explicationem v. 75   60 *ἕτερον σχόλιον* A[2]

μενος παρεγκλιτικῶς οὕτως εἶπον τὰς τέσσαρας χάριτας τοῦ λόγου καὶ ἀρετάς, τήν τε σαφήνειαν καὶ τὴν συντομίαν τὸ πιθανόν τε καὶ αὐτὴν τὴν μεγαλοπρέπειαν· ὁ γὰρ τῶν ὀνομάτων ἑλληνισμὸς καὶ τῶν λέξεων ἐργάτης τῆς σαφηνείας ἐστίν.

III 11. Περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ περὶ τῆς ἀγοραίας καὶ ἀγυιάτιδος κωμῳδίας [καὶ ἀγυρτρίδος], ὅτι τε γεωργῶν εὕρημα καὶ ὅτι τραγῳδίας μήτηρ ἐστὶ καὶ σατύρων· νῦν δὲ περὶ τῆς λογίμης ἡμῖν κωμῳδίας μόνης ἐστὶ διδακτέον. 12. αὕτη ἡ κωμῳδία τριττή ἐστι, πρώτη μέση καὶ ὑστέρα. ὧν τῆς μὲν πρώτης ἦν γνώρισμα λοιδορία συμφανὴς καὶ ἀπαρακάλυπτος· τῆς μέσης δὲ καὶ δευτέρας ἦν γνώρισμα τὸ συμβολικωτέρως, μὴ καταδήλως λέγειν τὰ σκώμματα, οἷον τὸν ῥίψασπιν στρατηγὸν ἀετὸν ὄφιν ἀσπίδα κρατήσαντα καὶ δηχθέντα ὑπ' αὐτῆς αὐτὴν ἀπορρίψαι (Arist. Vesp. 16). ἐχρᾶτο δὲ αὕτη ἡ μέση τοῖς συμβολικοῖς τούτοις σκώμμασιν ὁμοίως ἐπί τε ξένων καὶ πολιτῶν. 13. καὶ ἡ τρίτη δὲ καὶ ὑστέρα συμβολικῶς ὁμοίως ἐχρᾶτο τοῖς σκώμμασιν, ἀλλὰ κατὰ δούλων καὶ ξένων, οὐ μέντοιγε κατὰ πολιτῶν· ἤδη γὰρ οἱ πολῖται ἀδικεῖν ἀναιδέστερον ἤρξαντο καὶ οὐκ ἤθελον παρὰ ποιητῶν τῶν καὶ διδασκάλων καλουμένων ἐλέγχεσθαι. 14. τῆς οὖν κωμῳδίας τῆς καλουμένης πρώτης πρῶτος καὶ εὑρετὴς γέγονεν ὁ Μεγαρεὺς Σουσαρίων ὁ Τριποδίσκιος, υἱὸς ὢν Φιλίννου, ὃς φαύληι γυναικὶ συνοικῶν ἀπολιπούσηι αὐτὸν Διονυσίων ἡγμένων εἰσελθὼν εἰς τὸ θέατρον τὰ τέσσαρα ἰαμβεῖα ταυτὶ ἀνεφθέγξατο, ἃ μόνα τῶν ἐκείνου συγγραμμάτων ἐφεύρηνται τῶν ἄλλων ἁπάντων ἠφανισμένων·

ἀκούετε λεῴ· Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίννου, Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

15. οὕτως ἡ πρώτη κωμῳδία τὸ σκῶμμα εἶχεν ἀπαρακάλυπτον, ἐξήρκεσε δὲ τὸ ἀπαρακαλύπτως οὑτωσὶ κωμῳδεῖν μέχρις Εὐπόλιδος·

---

75 παρεγκλιτικῶς i. e. symbolice; Sappho enim (a σάφα) τῆς σαφηνείας exemplum, Gorgo τῆς συντομίας (γοργόν enim concisum dicendi genus), τὸ πιθανὸν τῆς Πειθοῦς, magnificentia autem Polymniae est, quam ipse Tzetza v. 52 τὴν μεγαλοπρεπεστάτην dixerat 80 καὶ ἀγυρτρίδος suspectum; similia narrata in schol. Dionys. supra p. 12 82 λογίμης i. e. quae per litteras tradita erat 84 sq. cf. Tract. Coislin. § 4 85 fort. ⟨καὶ⟩ μή 86 fort. ὄφιν ἢ ἀσπίδα 89. 90 fort. συμβολικοῖς 95 φιλίνου A, sed superscr. ν, cf. v. 100 96 ἀγομένων Nauck 97 ἐφεύρηται A, -ρηνται A², φέρονται Nauck 100 A² in marg. τριποδίσκη πόλις ἐστὶ μεγαρίδος 104 rectius διήρκεσε Pb § 24, ubi simillima narratio

p. 114 K ἐπεὶ δὲ οὗτος εἰς Ἀλκιβιάδην τὸν στρατηγὸν ἀπέρριψε σκῶμμα καὶ φανερῶς τὴν τραυλότητα τούτου διελοιδόρησεν — ἔτυχον δὲ τότε κἀν ταῖς τριήρεσιν ὄντες ὡς ναυμαχίας προσδοκωμένης — κελεύει τοῖς στρατιώταις ⟨συλλαβεῖν αὐτόν⟩, καὶ ἢ ἅπαξ ἐκβράττουσιν αὐτὸν εἰς τὴν θάλατταν καὶ ἀπώλετο, ἢ σχοίνωι δεδεμένον ἀνάγοντες καὶ κατάγοντες ἦσαν εἰς θάλασσαν καὶ τέλος περιέσωσαν τοῦτον, τοῦ Ἀλκιβιάδου εἰπόντος αὐτῶι ‘βάπτ’ ἐμὲ σὺ θυμέλαις, ἐγὼ δὲ σὲ κατακλύσω ὕδασιν ἁλμυρωτάτοις’. 16. καὶ ἢ οὕτως ἢ παντελῶς διεφθαρμένος τοῖς κύμασι τῆς τε φανερᾶς καὶ τῆς συμβολικῆς κωμωιδίας ἐπαύθη, ἢ τοῦ τοιούτου θανάτου περισωθεὶς οὐκέτι κωμωιδίαν μετῆλθεν ἀπαρακάλυπτον, ἀλλὰ ψήφισμα θέντος Ἀλκιβιάδου κωμωιδεῖν ἐσχηματισμένως καὶ μὴ προδήλως, αὐτός τε ὁ Εὔπολις Κρατῖνός τε καὶ Φερεκράτης καὶ Πλάτων — οὐχ ὁ φιλόσοφος — Ἀριστοφάνης τε σὺν ἑτέροις τὰ συμβολικὰ μετεχειρίσαντο σκώμματα, καὶ ἡ δευτέρα κωμωιδία τῆς Ἀττικῆς ἀνεσκίρτησεν. 17. ὡς δ’ ἐπὶ πλέον ἐπεχείρουν οἱ Ἀττικοὶ ἀδικεῖν καὶ οὐδὲ συμβόλοις ἐλέγχεσθαι ἤθελον, ἐψηφίσαντο συμβολικῶς μὲν γίνεσθαι κωμωιδίας, πλὴν κατὰ μόνων δούλων καὶ ξένων· κἀντεῦθεν καὶ ἡ τρίτη κωμωιδία ἐφάνη, ἧς ἦν Φιλήμων καὶ Μένανδρος. ἀλλ’ ἐπεὶ τὰς διαφορὰς τῆς λογίμης κωμωιδίας εἰρήκαμεν λεκτέον ἤδη καὶ πόσα μέρη αὐτῆς.

V 18. μέρη τῆς κωμωιδίας εἰσὶ τέσσαρα, πρόλογος, μέλος χοροῦ, τρίτον ἐπεισόδιον καὶ τέταρτον ἔξοδος· καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ τῆς εἰσόδου, ἡ δὲ ἅμα τῆι εἰσόδωι τοῦ χοροῦ λεγομένη ῥῆσις μέλος καλεῖται χοροῦ. ἐπεισόδιον δέ ἐστι μέλος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορῶν. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῶι τέλει τοῦ χοροῦ ῥῆσις· καὶ ταῦτα μέν εἰσι τὰ μέρη τῆς κωμωιδίας, μέρη δὲ παραβάσεως ἑπτά. 19. πρῶτα δὲ τὰ Διονυσίου καὶ Κράτητος καὶ Εὐκλείδου ῥητέον μοι, ἔπειτα [δὲ] τὰ ἡμέτερα ταῦτα σαφῶς ἐκδιδάξοντι. οὐδὲ γὰρ οὐδ’ ἁβρὰ τράπεζα, ⟨εἰ⟩ μὴ μετὰ τροφῆς ἔνδειαν,
p. 115 K οὐδὲ γαλήνη, ⟨εἰ⟩ μὴ μετὰ τρικυμίας [καὶ] κλύδωνα, οὐδ’ ἡ ὡραιότης καὶ ἀρετὴ καὶ χάρις τοῦ λόγου ⟨καὶ⟩ σαφήνεια τοσοῦτον οἶδεν εὐφραίνειν, εἰ μὴ μετὰ τὴν κατ’ Ἐμπεδοκλέα (396 Stein) μελάγκουρον, κατὰ δὲ Τζέτζην κουτοῦλαν καὶ κερκεσύραν περιεργεστάτην Ἀσάφειαν, καὶ

---

107 *κἀν* an *καὶ* scriptum fuerit in codice incertum, *ἐπὶ* Nauck 108 suppletum ex Pb 112 *ἢ οὕτως* quamvis molestum legitur etiam Pb 121 *πλὴν* i. *sed*, cf. Iamb. de poet. infra n. VII v. 86 128 sq. leg. *ἐστι τὸ μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορικῶν*, cf. ad Pb § 29 132 *δὲ* delevi, quo servato *ἐκδιδάξονται* coni. Nauck 133. 4 *εἰ* adieci 134 *καὶ* delevi 135 *καὶ* add. Studemund 137 *τουτοῦλαν* ut videtur A[2]; non intellego cf. Ptol. Heph. apud Phot. bibl. p. 147, 19 *Ἀχιλλέα Ἀριστόνικος ὁ Ταραντῖνος διατρίβοντα ἐν ταῖς*

μᾶλλον εἰ σοφοῖς λόγοις αὐτὴ ἑαυτῆι ἀντιβαίνουσα γίνοιτο ὁτὲ μὲν ἀρνίον ὁτὲ δὲ τραγίον, ὁτὲ δὲ κόνδουρον ἀειδούριον. καὶ δὴ κριτικωτάταις ἀκροᾶσθε ταῖς ἀκοαῖς. 20. ὁ χορός, φασίν, ὁ κωμικὸς εἰσήγετο τῆι ὀρχήστραι, ἣν καὶ λογεῖον καλοῦμεν, καὶ διαλεγόμενος μὲν τοῖς ὑποκριταῖς μέτροις ἑτέροις πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμωιδίας· ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸν δῆμον ὁρῶν ἐκ τετραμέτρων ις´ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους ἑκκαίδεκα τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο τοῦτο ἀντίστροφος. ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον. ἡ ὅλη δὲ πάροδος τοῦ χοροῦ καλεῖται παράβασις. 21. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἁψῖδος ἔβαινεν· εἰ δ᾽ ὡς ἀπ᾽ ἀγροῦ, διὰ τῆς δεξιᾶς ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπωι, πρὸς μόνους ὁρῶν τοὺς ὑποκριτάς· ὧν ἐξελθόντων ὁ χορὸς ἑπτάκις στρεφόμενος πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ἑώρα. 22. τὸ δ᾽ ἑπτάστροφον ὄρχημα τοῦτο παράβασις ἐκαλεῖτο τῶι γένει, καὶ ἡ πρώτη δὲ ὄρχησις ὁμωνύμως τῶι γένει παράβασις, τὸ τρίτον μακρὸν καὶ πνῖγος, τὸ τέταρτον ὠιδὴ καὶ στροφή, τὸ πέμπτον ἐπίρρημα, τὸ ἕκτον ἅμα ἀντωιδὴ καὶ ἀντίστροφος, τὸ δ᾽ ἕβδομον ἀντεπίρρημα. 23. ταυτὶ μὲν τῶν ἀνδρῶν εἰσιν ὧνπερ ἔφημεν· κἄνπερ ἡμεῖς συντόμως [καὶ] ταῦτα καὶ σαφεστέρως εἰρήκειμεν, τὸ ἀρνίον [δὲ] καὶ τραγίον σκοπεῖτε. τούτοις ἡ στροφὴ καὶ ἀντίστροφος ἀνωτέρω μὲν ἐπίρρημα ἐκαλεῖτο, νῦν δὲ ἡ ὠιδὴ καλεῖται καὶ στροφή, τὸ δὲ μετ᾽ αὐτὴν πέμπτον μέρος ἐπίρρημα, ἡ ἀντωιδὴ δὲ καὶ ἀντίστροφος, ἀντεπίρρημα δὲ τὸ ζ´ μέρος· ὥστε συμβαίνειν τὸ ἐπίρρημα πεντώνυμον γίνεσθαι ⟨καὶ⟩ ἔχειν μὲν τὴν ἑαυτοῦ κλῆσιν, καλεῖσθαι δὲ καὶ στροφὴν καὶ ἀντίστροφον· ἡ δὲ ὠιδὴ κατ᾽ αὐτοὺς καλεῖται p. 116 K
καὶ στροφή, ὡς ἡ ἀντωιδὴ καὶ ἀντίστροφος. 24. ἀλλὰ ταῦτα μὲν οἱ κομψοπρεπεῖς ἐξηγηταὶ καὶ διδάσκαλοι· οἷς εἴ που κἂν ⟨μέχρι⟩ μιᾶς λέξεως ἐπείσθην, εὐθὺς κατ᾽ αὐτοὺς ἀνηρτημένος μετέωρος ἰκρίων τοῦ ψεύδους ἀρίδηλος γέγονα, ʽτόργοισιν αἰώρημα φοινίοις δέμαςʼ (Lycophr. 1080)· ὡς ἄρτι ποτὲ τὴν ἔφηβον ἡλικίαν πατῶν καὶ τὸν αἰθέριον ἐξηγούμενος Ὅμηρον πεισθεὶς Ἡλιοδώρωι τῶι βδελυρῶι

παρθένοις παρὰ Λυκομήδει Κερκυσέραν (l. Κερκεσύραν) καλεῖσθαί φησιν περιεπεστάτην A: correxi 138 αὐτή i. e. ἡ Ἀσάφεια 139 γαειδούριον (i. *asellus*) Wilamowitz, non satis haec inlustrantur scholio in margine scripto hoc: κοντὸς τὸ κοντάριον, κονδὸς δὲ ὁ χαμερπής, κονοειδεός τις καὶ κόνει πεφυρμένος
140 sqq. similia P b § 30 153 numerandi error non librarii sed ipsius Tzetzae, cf. Iamb. de com. v. 45 (infra p. 41) 158 cf. v. 139 165 μέχρι additum ex Mb § 34 167 potius ἐγεγόνειν 168 πατῶν Nauck (cf. Pind. Ol. I 115): πασῶν

εἶπον συνθεῖναι τὸν Ὅμηρον ἐπὶ Πεισιστράτου ἑβδομήκοντα δύο σοφούς, ὧν ἑβδομήκοντα δύο εἶναι καὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον. 25. καίτοι τεσσάρων ἀνδρῶν ἐπὶ Πεισιστράτου συνθέντων τὸν Ὅμηρον, οἵτινές εἰσιν οὗτοι· Ἐπικόγκυλος, Ὀνομάκριτος Ἀθηναῖος, Ζώπυρος Ἡρακλεώτης καὶ Ὀρφεὺς Κροτωνιάτης· Ζηνοδότου δὲ χρόνοις ὑστέροις ἐπὶ τοῦ Φιλαδέλφου αὐτὸν ἀνορθώσαντος, ἔπειτα δὲ πάλιν τοῦ Ἀριστάρχου. 26. ταῦτα μέν μοι Ἡλιοδώρωι συμπέπτωκε, τοῖς δὲ τὰς τραγικὰς βίβλους ἐξηγησαμένοις πεισθείς, οἷς καὶ οὗτοί φασι τὰ αὐτά, εἶπον Ὀρέστην καὶ Ἄλκηστιν Εὐριπίδου καὶ τὴν Σοφοκλέους Ἠλέκτραν εἶναι σατυρικὰ δράματα, ὡς ἀπὸ πένθους εἰς χαρὰν καταλήγοντα, καὶ οὕτω μέτροις τε καὶ λοιποῖς μου συγγράμμασιν γράφων ἐδίδασκον, ἕως ἀναγνοὺς Εὐριπίδου πολλὰ δράματα εὗρον καὶ ἔγνων τὰ σατυρικὰ δράματα τέρψεις θυμελικὰς ἀμιγεῖς καὶ γέλωτα φέροντα. 27. ἐῶ τοὺς πολλοὺς καὶ τοὺς λεξιγράφους Ὁμήρου, ἃ ἠγνόησαν εἴς τε λέξεις τινὰς καὶ ἱστορίας καὶ ἕτερα καὶ τοῦ ποιητοῦ κατεψεύσαντο, ὥσπερ καὶ οἱ προκείμενοι ἄνδρες τοῖς περὶ τῶν σκηνικῶν τῶνδε δραμάτων διδάγμασιν, ὡς ἀπ᾽ αὐτῶν τῶν βίβλων ἐλέγχονται. ἀλλὰ παρέντες τὰ περιττὰ σαφῶς συντόμως καὶ ἀληθῶς καὶ ὡς ὁ νοῦς ἔχει τῆς βίβλου ταῦτα ἐκθείημεν· πᾶς δὲ ἀληθείας ἐρῶν κριτικωτάτως βασανιζέτω τὸ σύγγραμμα.

---

170 *εἶπον* i. e. in commentario Pb § 22 176 *Ἡλιοδώρωι* i. e. *ὑπὸ τοῦ Ἡλιοδώρου*, cf. ad v. 2 177 haec igitur eodem ex libro unde Cratetis Dionysii Euclidae memoriam Tzetza petierat; ceterum conparandum scholium ad Tzetzae Iamb. de discr. poet. v. 93 (infra p. 37): *τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα γράψασιν* (l. *γράψας*) *οὕτω· ʽτὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης καὶ ἡ Σοφοκλέους Ἠλέκτρα καὶ ὅσα τοιαῦτα, σατυρικά εἰσι καὶ οὐ τραγικά. ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσιν.ʼ οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος· ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμωιδίας διαφοράν· ἡ μὲν οὖν κωμωιδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς ἐπὶ λοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας ἔχει τὸν γέλωτα πάνυ ἡδύτατον οἷον τὸν ἐν θυμέλαις* 178 *εἶπον*: non dixit hoc in eis quae supersunt 183 fort. *τούς τε ἄλλους καὶ* 184 fort. *ἕτερα, ἃ καὶ* 187 fort. *σαφῶς καὶ συντόμως* (vel *συντόμως τε*)

M b

I 28. Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ἀλλὰ καὶ Ζηνόδοτος ὁ Ἐφέσιος τῶι Φιλαδέλφωι Πτολεμαίωι συνωθηθέντες βασιλικῶς ὃ μὲν τὰς τῆς τραγωιδίας, Λυκόφρων δὲ τὰς τῆς κωμωιδίας βίβλους διώρθωσαν, Ζηνόδοτος δὲ τὰς Ὁμηρείους καὶ τῶν λοιπῶν ποιητῶν. 29. ὁ γὰρ ῥηθεὶς βασιλεὺς Πτολεμαῖος ἐκεῖνος, ἡ φιλοσοφωτάτη τῶι ὄντι καὶ θεία ψυχή, καλοῦ παντὸς καὶ θεάματος καὶ ἔργου καὶ λόγου τελῶν ἐπιθυμητής, ἐπεὶ διὰ Δημητρίου τοῦ Φαληρέως καὶ γερουσίων ἑτέρων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν ἤθροισε, δυσὶ βιβλιοθήκαις ταύτας ἀπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἦν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι, τῆς δ' ἔσω τῶν ἀνακτόρων καὶ βασιλείου βίβλων μὲν συμμιγῶν ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἁπλῶν δὲ καὶ ἀμιγῶν βίβλων μυριάδες ἐννέα, ὡς ὁ Καλλίμαχος νεανίσκος ὢν τῆς αὐλῆς ἱστορεῖ, ὃς μετὰ τὴν ἀνόρθωσιν τοὺς πίνακας αὐτῶν ἀπεγράψατο. 30. Ἐρατοσθένης δὲ ὁ ἡλικιώτης αὐτοῦ παρὰ τοῦ βασιλέως τὸ τοσοῦτον ἐνεπιστεύθη βιβλοφυλάκιον. ἀλλὰ τὰ Καλλιμάχου καὶ τοῦ Ἐρατοσθένους μετὰ βραχύν τινα χρόνον ἐγένετο τῆς συναγωγῆς τῶν βίβλων, ὡς ἔφην, καὶ διορθώσεως, κἂν ἐπ' αὐτοῦ τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου. 31. τότε δὲ συνηθροισμένων ἁπασῶν τῶν βίβλων τῶν Ἑλληνίδων καὶ ἔθνους παντὸς καὶ σὺν αὐταῖς τῶν Ἑβραίων, ἐκεῖνος ὁ ἀφειδὴς βασιλεύς, ὢν ποταμὸς χρυσορόας ἀλλ' ἑπτάστομος ἐκρέων, τὰς ἐθνικὰς μὲν ὁμογλώσσοις ἐκείνων ἀνδράσι σοφοῖς καὶ ἀκριβῶς ἑλληνίζουσιν εἴς τε γραφὴν ὁμοῦ καὶ γλῶσσαν Ἑλλάδα μετήμειψεν, ὡς καὶ τὰς Ἑβραίδας δι' ἑβδομήκοντα δύο ἑρμηνέων Ἑβραίων σοφῶν πεφυκότων καθ' ἑκατέραν διάλεκτον. 32. τὰς ἐθνικὰς μὲν

p. 117 K

M b inscriptum *ἑτέρα ἀρχή* A, tum versum *βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ' ὑποφήτην* tamquam ipsius prooemii exordium scr. A²

I similia quamquam non hinc petita habet scholium q. d. Plautinum (ed. Ritschl Opusc. I 5, cf. Dziatzko Mus. Rh. 46, 349), cui praescriptum '*ex Caecio in commento comoediarum Aristophanis poetaė in pluto*' 2 *συνωθηθέντες* i. e. compulsi, cf. Tzetzae Prol. Hesiod. p. 6 Basil. in schol. Plautino sic: *impulsu regis ptolemaei philadelphi cognomento, qui mirum in modum favebat ingeniis et famae doctorum hominum,* et paullo post: *nam rex ille philosophis affectissimus et caeteris omnibus autoribus claris* eqs. 10 sqq. schol. Plaut. sic: *in regia autem bibliotheca voluminum ... digestorum milia nonaginta, sicuti refert Callimacus aulicus regius bibliothecarius, qui etiam singulis voluminibus titulos inscripsit. fuit praeterea qui idem asseveret eratosthenes non ita multo post eiusdem custos bibliothecae* 13 *νεανίσκος τῆς αὐλῆς* obscurum, cf. Ma § 1 *νεανίαι ἦσαν Καλλίμαχος καὶ Ἐρατοσθένης* 14 *ἱστορεῖ, ὃς* Dziatzko: *ὑστέρως* 21 fort. *ἀληθῶς*

οὕτω μετεποίησε βίβλους· τῶν Ἑλληνίδων δὲ βίβλων, ὡς καὶ προλαβὼν ἔφην, τὰς τραγικὰς μὲν διώρθωσε δι' Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ, p. 118 K τὰς τῆς κωμωιδίας δὲ διὰ τοῦ Λυκόφρονος, διὰ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου τὰς τῶν λοιπῶν ποιητῶν, τὰς Ὁμηρείους δὲ κατ' ἐξαίρετον, πρὸ διακοσίων καὶ πλειόνων ἐνιαυτῶν Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τῆς διορθώσεως Ζηνοδότου συντεθείσας σπουδῆι Πεισιστράτου παρὰ τῶν τεσσάρων τούτων σοφῶν, Ἐπικογκύλου Ὀνομακρίτου τε Ἀθηναίου Ζωπύρου τε Ἡρακλεώτου καὶ Κροτωνιάτου Ὀρφέως. 33. οὕτω μὲν ἐν χρόνοις τοῦ Πεισιστράτου τοῖς τέσσαρσι τούτοις σοφοῖς αἱ Ὁμηρικαὶ συγγραφαὶ τεμαχίοις περιφερόμεναι συνετέθησαν καὶ βίβλοι ἐγένοντο· χρόνοις δ', ὡς ἔφην, τοῦ Φιλαδέλφου παρὰ τοῦ Ζηνοδότου ὠρθώθησαν. μετὰ δὲ Ζηνόδοτον Ἀριστάρχωι πάλιν ὠρθώθησαν τετάρτωι ἢ ε' ἀπὸ Ζηνοδότου τελοῦντι. / 34. κἂν ὁ πεφυρμένος καὶ βδελυρὸς Ἡλιόδωρος οὐκ εἰδὼς ὅ τι ληρεῖ φύρηι πάντα καὶ σύμμικτον κυκεῶνα μᾶλλον δὲ κοπρεῶνα ποιῆι, ἐπὶ Πεισιστράτου τὸν Ὅμηρον συντεθῆναι καὶ ὀρθωθῆναι ληρῶν παρὰ τῶν οβ', ἐπικριθῆναι δὲ πάντων τὴν Ζηνοδότου καὶ Ἀριστάρχου σύνθεσίν τε καὶ διόρθωσιν, καὶ ἡμᾶς ἔτι νεάζοντας καὶ πρώτους ὑπηνήτας τελοῦντας ἔπεισεν οὕτως εἰπεῖν ἐξηγουμένους τὸν Ὅμηρον, ὡς καὶ ἕτεροί τινες κομψοὶ καὶ αἰθεροβάμονες· οἷς ἂν καὶ μέχρι μιᾶς λέξεως ἀβασανίστως ἐπείσθην καὶ μὴ ἐκ τοῦ κειμένου τῆς παλαιᾶς βίβλου τὸ ἀληθὲς ἀπηκρίβωσα, κατ' ἐκείνους παραληρῶν ἐφαινόμην· ἀλλ' ἅπαξ καὶ δὶς τοῦτο παθὼν τῶι νεάζοντι [τῶι] 'πάθει μάθος ἐθέμην' (Aesch. Ag. 177). / 35. καὶ τούτους μὲν ἥγημαι κομψοὺς αἰθερίους, αὐτὸς δ' ἐκ τῶν κειμένων ἀνθέων τῶν βίβλων ὥσπερ τις 'μέλισσα φιλεργὸς' ὁποῖα δυναίμην σιμβλοποιῶ, οἶμαι δὲ καὶ τῶι μέλιτι πολλοὺς διεκτρέφω· κἂν μυῖαί τινες δυσγενεῖς, ὡς οὐδὲ τῶι Ἀττικῶι οὐδὲ τούτωι ἰζῆσαι δυνάμεναι, ὅμως λάθρα σὺν ὁμοτρόποις περιιπτάμεναι περιβομβοῦσιν ἀνήκουστά τε καὶ παράληρα — ἀλλά μοι τόσον ⟨παρα⟩τροχάσαντι ἀναληπτέον πάλιν τοῦ λόγου τὰ καίρια.

---

32 v. ad Pb § 22 39 sqq. schol. Plaut. sic: *Heliodorus multa aliter nugatur quae longo convicio cecius reprehendit. nam ol. LXXII duobus doctis viris a pisistrato huic negotio praepositis dicit homerum ita fuisse compositum, qui quidem zenodoti et aristarchi industria omnibus praelatam comprobarint, quod constat fuisse falsissimum. quippe cum inter pisistratum et zenodotum fuerint anni supra ducentos, aristarchus autem quattuor annis minor fuerit ipso et zenodoto atque ptolemaeo* 39. 40 *πάντα καὶ* scripsi: *καὶ πάντα* A 46 *βιβλίου* A 48 *ταὐτὸ* Keil 50 *μέλισσα φιλεργός* Gregorius Nazianz. dixisse fertur in Thesauro l. gr. 52 *δυσγενεῖς* A[1] corr. ex *δυσμενεῖς* ut videtur 52. 53 fort. [*οὐδὲ*] *τούτωι ζῆσαι δυνάμεναι* 54. 55 *παρατροχάσαντι*, cf. Ma § 5

II 36. *περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ διαρκῶς ἕκαστα* p. 119 K *ἐξεπίστασθε, εἴδη τε τούτων καὶ τὰ γνωρίσματα, τῶν σκηνικῶν τε τοὺς χοροὺς ἐκ πόσων ἀνδρῶν καὶ τί ἑκάστωι τὸ δῶρον καὶ πῶς ἐφευρέθησαν καὶ διὰ τί λέγονται δράματα καὶ οὐ γράμματα· ἀλλὰ καὶ νῦν ἐπιδρομάδην τῶν σκηνικῶν ποιημάτων τὰ καίρια διδακτέον μοι, ἵνα καὶ ψώραν ἐξηγητῶν ταῖς διαφοραῖς ἐκκαθάρωμεν καὶ τὸ Διονυσίου τε καὶ Εὐκλείδου καὶ Κράτητος σκολιῶς καὶ πεφυρμένως καὶ ἀπαρατηρήτως γραφὲν εἰς τὸ περὶ μερῶν κωμωιδίας καὶ παραβάσεως εὐθυτάτως τε καὶ ἀφύρτως μετ᾽ ἐπιστάσεως σαφῶς παραστήσαιμεν κατά τε τὴν πρᾶξιν αὐτὴν καὶ τὸν νοῦν τῶν βιβλίων καὶ τὴν ἀλήθειαν. καὶ δὴ πρῶτον ἀρκτέον μοι λέγειν τὰς διαφοράς.*

III 37. *ἡ κωμωιδία μεμιγμένον τοῖς σκώμμασιν εἶχε τὸν γέλωτα, ἡ τραγωιδία πένθη καὶ συμφοράς· ἡ σατυρικὴ δὲ ποίησις οὐκ ἀπὸ πένθους εἰς χαρὰν καταντᾶι, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ τοῦ Σοφοκλέους Ἠλέκτρα, ὡς κἀμὲ οἱ ἀσκέπτως ληροῦντες ἐξηγηταὶ καὶ γράψαι καὶ διδάξαι ἠπάτησαν, ἀλλ᾽ ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα.* 38. *οἷον Ἡρακλῆς .... ὁ τεχνικώτατος γεωργός. τοιαῦτα τὰ σατυρικὰ δράματα, οὐχ οἷα γράφουσιν οἱ ἀσκέπτως ληροῦντες καὶ ἐμὲ αὐτὸν ἀπατήσαντες.* 39. *ἀλλὰ ῥητέον καὶ τί* p. 120 K *τῶι βίωι ταῦτα λυσιτελεῖ. ἡ τραγωιδία λύει τὸν βίον, ἡ κωμωιδία δὲ συνιστᾶι, θυμελικοῖς δὲ τοιούτοις οἱ σάτυροι καθηδύνουσι. λυρικοὶ δὲ οἱ καὶ κυκλικοὶ καὶ διδύραμβοι ἢ ἤινουν κυδαίνοντες ἀθλητὰς ἀγῶσι νικῶντας ἢ ὕμνουν Διόνυσον ἢ καὶ ἑτέρους θεούς. ἐπεὶ ταῦτα σαφῶς ἡμῖν καὶ συντόμως ἐρρήθη, φέρε καὶ ὅπως ταῦτα τὰ δράματα ἐδιδάσκετο διδακτέον μοι.*

VI[a]. E TZETZAE PROLEGOMENIS AD LYCOPHRONEM.

I p. 254 M. *Τραγικῶν δὲ καὶ σατυρικῶν καὶ κωμικῶν ποιητῶν κοινὸν μὲν τὸ τετραγώνως ἔχειν ἱστάμενον τὸν χορὸν καὶ τὸ λαμβάνειν τράγον ἢ τρύγα, τουτέστι νέον οἶνον, καὶ μιμητικῶς ἐν τῆι θυμέληι τὰ τούτων δράματα λέγεσθαί τε καὶ δρᾶσθαι· διάφορον δὲ*

---

61 *ταῖς διαφοραῖς* cf. v. 66 64. 65 *παραστήσωμεν* Keil 72 § 38 v. supra P b § 27 74 § 39 v. P b § 28 post v. 80 secuntur eadem plane quae supra P b inde a § 33 ad § 39 proposui, extrema autem verba haec sunt: *ἕνεκα μὲν τῶν ἀχαρίστων ταῦτα ἐγράφη μοι· ἀποδρέπεσθε δὲ καὶ ὑμεῖς τούτων, γεννήματα ἐχιδνῶν καὶ ἀχάριστοι. φάμενοι δὲ καὶ τὸ γένος τοῦ ποιητοῦ καὶ τὸν σκοπὸν τὸν τοῦ δράματος γνωρίσωμεν ἐπὶ τὴν τοῦ κειμένου σαφήνειαν (σαφήνι-*

αὐτοῖς τὸ τὴν κωμῳδίαν γέλωτα ἔχειν καὶ σκώμματα καὶ κδ' χορευτάς, τὴν δὲ τραγῳδίαν καὶ τοὺς σατύρους ἐπ' ἴσης μὲν ἔχειν χορευτὰς ις', διαφέρειν δὲ πρὸς ἀλλήλους ὅτι ἡ μὲν τραγῳδία θρήνους μόνον ἔχει καὶ οἰμωγάς, ἡ δὲ σατυρικὴ ποίησις συγκιρνᾶι ταῖς ὀλοφύρσεσιν ἱλαρότητα καὶ ἀπὸ δακρύων εἰς χαρὰν καταντᾶν εἴωθε. διαφέρει δὲ καὶ κατὰ τοῦτο τραγῳδία καὶ κωμῳδία ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. κωμῳδία δὲ ἐκλήθη ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου εὑρέθη, ἢ ὅτι ἐν ταῖς κώμαις τουτέστιν ἐν ταῖς στενωποῖς, ἢ ἐν ταῖς κώμαις τουτέστιν ἐν τοῖς μεγίστοις χωρίοις, ἢ ὅτι ἐν τοῖς κώμοις καὶ πότοις τοῦ Διονύσου εὑρέθη. ἡ δὲ τραγῳδία ἀπὸ τοῦ τράγου ἢ τρύγα, τουτέστι νέον οἶνον, λαμβάνειν, ἢ ἀπὸ τοῦ τρυγὶ χρίσασθαι τὰ πρόσωπα κατ' ἀρχάς, ἢ ὅτι τετραγώνως ἵσταντο τετραγῳδία καὶ τραγῳδία, ἢ ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους τραχῳδία καὶ τραγῳδία ἐκλήθη. ἡ σατυρικὴ δὲ ἀπὸ τῶν σατύρων ἐκλήθη τῶν εὑρόντων αὐτὴν ἤτοι γεωργῶν καὶ εὐτελῶν ἀνθρώπων. τραγῳδοὶ δὲ ποιηταὶ Ἀρίων Θέσπις Φρύνιχος Αἰσχύλος Σοφοκλῆς Εὐριπίδης Ἴων Ἀχαιὸς καὶ ἕτεροι μυρίοι νέοι. κωμῳδοὶ πραττόμενοι Κρατῖνος Πλάτων Εὔπολις Φερεκράτης Ἀριστοφάνης καὶ ἕτεροι. καὶ νέοι Μένανδρος Φιλήμων Φιλιστίων καὶ πλῆθος πολύ. σατυρικὸς δὲ Πρατίνας καὶ ἕτεροι. καὶ ταῦτα μὲν περὶ τραγικῶν σατυρικῶν καὶ κωμικῶν ποιητῶν.

VII. ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΣΤΙΧΟΙ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΟΙΗΤΩΝ.

Ποιητικῶν μέλλουσιν ἄρχεσθαι λόγων
χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·
οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις·

VI[a] 13 *ἐν ταῖς ὁδοῖς* n. II § 1, cf. Tzetzae Iamb. n. VII v. 31. 115 14 cf. Steph. Byz. s. *κώμη* p. 400, 22 15 cf. v. 3 20. 21 tragici praeter Arionem Thespin Phrynichum eidem in laterculo Coisliniano, de quo v. ad n. II 22 *πραττόμενοι* v. schol. Dion. Thr. supra p. 15, 70

VII—IX Edidit haec Cramerus An. Ox. III 334 duobus codicibus Oxoniensibus usus, altero Barocciano (B) altero Meermanniano (M); e codice Parisino 2644 iterum Duebner Mus. Rhen. IV (1836) p. 393. V (1837) p. 154. codices Parisinos 2403 saec. XIII (P) et 2644 saec. XIV (A) adcurate olim in Studemundi usum contulerat LCohn, qui quae in Anecdotorum Cramerianorum exemplo Studemundiano (libr.

καὶ δὴ τὸ λοιπὸν ἐγκαταρκτέον λέγειν.
ποιητικὸν γίνωσκε σὺ γένος, νέε,
πολλὰς τομὰς φέρον τε καὶ διαιρέσεις·
τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει,
ἄλλο τραγικήν, κωμικήν, μονωιδίαν,
καὶ σατυρικὸν καὶ διθύραμβον πάλιν·
ἰαμβογραφία τε τούτοις συντρέχει
ποιητικόν τε πᾶν ἀνώνυμον γένος.
καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.
τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·
πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη.
εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,
καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·
ὅθενπερ αὐτούς τις καλεῖ ταυροσφάγους.
τοῦ λυρικοῦ κύκλου δὲ σύστημα τόδε·
Κόριννα, Σαπφώ, Πίνδαρος, Βακχυλίδης,
Ἀνακρέων, Ἴβυκος, Ἀλκμάν, Ἀλκαῖος,
Στησίχορός τε καὶ Σιμωνίδης ἅμα,
δεκὰς ἀρίστη παντελὴς πληρεστάτη.
τὴν τραγικὴν μάνθανε καὶ κωμωιδίαν·
ἄμφω πρὸς ὠφέλειαν εὕρηνται βίου.
τὴν δ' εὕρεσιν μάνθανε πῶς ἐφευρέθη·
πένητες ἄνδρες Ἀττικοὶ γῆς ἐργάται
ἀδικίας πάσχοντες ἐν γεωργίαις
ἐξ Ἀττικῶν μὲν εὐγενῶν δὲ τῶι γένει·
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδ' ὅλως
συνεργὸν ἐξεύροντο τὸν νυκτὸς χρόνον.
κώμαις γὰρ αὐτοὶ ταῖς στενωποῖς τριόδοις
κῶμα κατ' αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας

Studem. n. 921) enotavit, mea gratia parato animo exscripsit diligentissime Fridericus Kuhn, additis simul quae ipse de Tzetzae versibus emendandis explicandisve utiliter observarat non paucis. duplicis huius beneficii meritas hoc loco gratias ago viro doctissimo. equidem pro huius editionis consilio non integram codicum memoriam rettuli, sed elegi quae necessaria viderentur esse.

VII inscriptum carmen in P sic *στίχοι ἰωάννου τοῦ τζέτζου*, in reliquis ut edidi, adiectis praeterea his *λογιζέσθωσαν δὲ μὴ ὡς στίχοι ἀλλ' ὥσπερ συντάγματα καταλογάδην γραφόμενα*

11 *πανανώνυμον* ABM   17 *ὅθεν παρ' αὐτούς* BM   in A scholium *Κρα-*

θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν ἐρευνᾶν πανταχοῦ τοὺς αἰτίους
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας.
ἐπεὶ δ' ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ᾔτησεν αὐτοὺς Ἀττικὴ γερουσία
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννύχως.
οἳ δ' αὖ θέλοντες ἅμα καὶ δεδοικότες,
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας,
ἀγνωστοφανῶς εἶπον ὡς πρὶν τὰς βλάβας.
ἐπεὶ δ' ἐσωφρόνισε τὸ πρᾶγμα πόσους,
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις,
ἐαρινῶι μάλιστα καιρῶι δὲ πλέον.
καὶ πρῶτον αὐτό πως μετῆλθον ἀγρόται,
κωμωιδίαν δή φημι καὶ τραγωιδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην·
ἄνδρας μετ' αὐτοὺς ἀξιοῦσι πανσόφους
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως,
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν·
κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγωιδία.
χρόνωι διῃρέθη δὲ κλῆσις εἰς τρία,
κωμωιδίαν ἅμα τε καὶ τραγωιδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνωιδίαν,
τραγωιδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμωιδίαν ἔθεντο τὴν κλῆσιν φέρειν.
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοίνικας, Παλαμήδεις,
τοὺς ζῶντας ἐξήλαυνεν ἀγερωχίας.
ὁ κωμικὸς δέ πως γελῶν κωμωιδίαις

---

40 *καὶ πρὸ τοῖς* BM 51 *αὐτό πως* P: *αὐτὰ πῶς* ABM *μετῆλθεν* P 56 *ἔφην* P, cf. Arist. Ran. 1054 67 *Παλαμήδας* P 68 *ἐξέλαυνεν* BM 69 *ὁ* om ABM *πῶς* codd

ἅρπαγά τινα καὶ κακοῦργον καὶ φθόρον
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
οὕτω λύει μὲν ἡ τραγωιδία βίον,
βαθροῖ δὲ καὶ πήγνυσιν ἡ κωμωιδία
καὶ σατυρικὴ συν ἅμα κωμωιδίαι,
ὁμοῦ σκυθρωποῖς τῆι χαρᾶι μεμιγμένη.
διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως,
τοὺς εὑρετὰς δὲ τοιγαροῦν μοι λεκτέον.
τριττὴν νόει πρῶτον δὲ τὴν κωμωιδίαν,
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος,
ἧς ἦν κατάρξας εὑρετὴς Σουσαρίων.
τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος,
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,
Ἀριστοφάνης, Ἕρμιππός τε καὶ Πλάτων.
καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος,
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων·
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.
τραγωιδίας μάνθανε τοὺς διδασκάλους,
Θέσπιν, Φρύνιχον, Αἰσχύλον, Σοφοκλέα·
ὕστατος αὐτῶν Εὐριπίδης Μνησάρχου,
κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
σατυρικὸν δὲ Πρατίναν οἶδα μόνον·
ἄλλους δ' ἐφευρὼν εἰ θέλεις, τέκνον; γράφε.
εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρός ἐστι καὶ πατὴρ κωμωιδίας
καὶ σατυρικῆς ἅμα καὶ τραγωιδίας
ἄλλης τε πάσης ἐν λόγοις εὐτεχνίας.
τούτοις δὲ κοινὸν τοῖς τρισὶ χοροστάταις
ἐν τετραγώνωι τῆι στάσει καθεστάναι,
τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι,
μιμητικῶς τε πάντα δρᾶν τῆι θυμέληι·

---

74 om. ABM 77 *μοι* PA (superscr. *νῦν* A): *νῦν* BM 78 *πρῶτον δὲ* P: *δὲ πρῶτον* reliqui 80 *ἦν* om. P ad hunc v. scholium habet A eadem continens quae in Tzetziano prooemio M a § 14 (supra p. 27) leguntur 90 *αὐτῶν* A: *αὐτὸς* BM, compendium habet P in utramque partem quod explicari possit 93 scholium adscriptum v. ad Tzetzae prooem. M a § 26 (p. 30) 95 post Aristot.

ὅθενπερ ἐσχήκασι κλῆσιν δραμάτων.
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλης
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις,
ἀνδρῶν γυναικῶν ἐκμιμούμενοι θέας.
ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα.
  διαφορὰν μάνθανε τῆς κωμωιδίας·
ἧς εἰκοσιτέσσαρες οἱ χορεργάται,
ἑκκαίδεκα δὲ σατύρων τραγωιδίας.
κωμωιδίας ἔφημεν εἶναι τὸν γέλων,
τραγωιδίας πάλιν δὲ τὴν θρηνωιδίαν,
τῶν σατύρων γέλων δὲ καὶ θρηνωιδίαν.
  κλῆσιν δὲ νῦν μάνθανε τῆς κωμωιδίας·
κώμαις στενωποῖς κώματος πρὶν ἐν χρόνωι
ἐφευρέθη μέν, ὡς ἔφην ἀνωτέρω·
ἀγρῶν δὲ κώμαις ἐκτελουμένη τότε
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου
κωμωιδίας εὕρηκε κλῆσιν εὐλόγως.
τραγωιδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ἧιπερ ἐξέχρισαν αὐτῶν τὰς θέας,
ἢ παρὰ τὴν τρύγα δὲ τὴν δωρουμένην
ἤτοι τὸν οἶνον Ἀττικῶι πάντως λόγωι,
ἢ τὸν τράγον δὲ καὶ τετράγωνον στάσιν,
ἢ τὴν τραχωιδίαν τε καὶ θρηνωιδίαν.
τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη.
τοὺς ἀγρότας δὲ πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε.
  ἔσχηκε καὶ κλῆσιν δὲ ταῦτα δραμάτων,
οὐ μὴν δὲ λοιπόν, ὡς τὰ λοιπά, γραμμάτων·
ἑδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου,
οὐδ' ἐν μόνοις γράμμασιν εἶχε τὴν στάσιν.
  μονωιδίαν μάνθανε σὺν αὐτοῖς, τέκνον.
γίνωσκε κυρίως δὲ τὴν μονωιδίαν,
ὅταν μόνος λέγηι τις ἐν θρηνωιδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγηι μόνος

103 *ὅθεν παρεσχήκασι* BM 118 *κώμας* A *καὶ τόποις* P, cf. v. 40 119 *εὕρηκε* scripsi, cf. v. 128: *εὕρισκε* P, *ἔσχηκε* reliqui 121 *αὐτῶν τὰς* P: *τὰς αὐτῶν* reliqui, cf. v. 44 130 *γραμμάτων* scil. *κλῆσιν ἔσχηκε* post v. 131 versus integer erasus in A 136 *λέγη* A: *λέγει* reliqui

ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει·
ἄλλοις γάρ ἐστι τραγικὸς χορεργάτης,
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγωιδίας.
ἔφην τὸ λοιπὸν καὶ μονωιδούς σοι, τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν
καὶ δῶρον εἶχον· τὰ δὲ λοιπά μοι μάθε.
οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους
παμπλειστοσυστρόβητον ἔγραφον μέλος,
οἷόνπερ αὐτὸς στίχον ἀρτίως ἔφην
ἀισματοκαμπτῶν πλειστοποικίλωι τρόπωι.
ταῦτα δ᾽ ἐποίουν ἐκμιμούμενοι τρόπους
τοὺς βακχικούς τε καὶ στροφὰς πολυστρόφους.
κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου·
ὅστισπερ ἐξέδραμε θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα.
Φιλόξενον δὲ τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
ἰαμβογράφους γλωττοτοξότας νόει
Πάριον Ἀρχίλοχον αἰσχρὸν ἐν λόγοις
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων·
οὗπερ παρεισέγραψέ τις τύμβωι τάδε·
'οὐ βότρυν ἀλλ᾽ ἄχερδον ἐν τάφωι φέρει
στύφοντα πικραίνοντα πικρίαι λόγων·
ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον
τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω.'
ἰὸν δέ πως βάζοντες ἐν πικροῖς λόγοις
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
ποιητικὸν δὲ πᾶν ἀνωνύμως λέγε,
ὅπουπερ εὑρήσειας αὐτός μοι, τέκνον,
ἡρωικὸν μέτρον τε καὶ μύθους ἅμα
λέξιν τε ποιὰν ἱστορικήν τε φράσιν.

---

139 *ἄλλοις* in P legi nequit, *ἄλλως* Wilamowitz 140 sic Phrynichus de Sophocle in Musis (Argum. Soph. Oed. Col.) *πολλὰς ποιήσας καὶ καλὰς τραγωιδίας* 145 velut *οἱ πρὸς Διόνυσον γεγραφότες* 148 *ἀσματοκαμπῶν* codd: cf. Ar. Nub. 333 *πλειστοποικίλ(ους) τρόπους* P ex v. 149 153 *ὅστις παρεξέδραμε τὰς δύο θύρας* P 160 Alcaeus Messenius Anth. Pal. VII 536 165 idem veriloquium Et. M. 463, 27 *ἐμπίκροις* A, *ἐμπικρῶς* BM 166 similiter dictum indicavit FKuhn Chil. XIII 331 *τὴν κλῆσιν κατεπλούτησας φέρειν τὴν τῆς καρύκης*

πεντας δὲ τούτων ἐστὶν ἐξῃρημένη
Ὅμηρος, Ἡσίοδος, Πάνυσις τρίτος,
Πείσανδρος, Ἀντίμαχος· οἱ δ' ἄλλοι νέοι,
ὧνπερ τὸν ἐσμὸν τίς διαγράψει λόγος;
οὕτω τὰ πάντα σὺ μαθὼν κατ' ἀξίαν
γίνωσκε καλῶς καὶ διάκρινον βίβλους
καὶ τεχνικῶς βάδιζε πρὸς λόγων τρίβους.

VIII. ΤΟΥ ΑΥΤΟΥ ΙΑΜΒΟΙ ΤΕΧΝΙΚΟΙ ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμωιδίαν,
πρώτην ὁμοῦ μέσην τε καὶ τὴν ὑστέραν,
ἔφην δὲ καὶ γνώρισμα τῶν τριῶν τότε,
οὐκ ἀκριβῶς ἔφην δὲ πᾶν μέχρι τέλους,
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμωιδίας,
καὶ τῆς παραβάσεως ὁπόσα δὲ τὰ μέρη
τίνα τε ταῦτα, τεχνικῶς τε πῶς πρέπει
κωμωιδίας γράφειν τε καὶ τραγωιδίας.
μέρη μὲν εἰσὶ τέσσαρα κωμωιδίας·
πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου,
τὸ τοῦ χοροῦ μέλος δὲ δεύτερον λέγω,
ἐπείσοδος τρίτον δέ· τί δὲ τυγχάνει;
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο·
τέταρτόν ἐστιν ἔξοδος ταύτης μέρος,
λόγος χοροῦ τις τῶι τέλει λελεγμένος.
τόσα μέρη μὲν εἰσὶ τῆς κωμωιδίας.
ἑπτὰ δὲ ⟨τῆς⟩ παραβάσεως εἰσὶ μέρη,
ἃ νῦν σαφῶς ἄκουε λεπτῶι τῶι λόγωι.
ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις,

---

172 *Πάννσις* ABM itemque cod. Paris. G Tzetzae Prol. in Hesiod. p. 12 Gaisf. cf. Hart de Tzetzarum nomine vitis scriptis p. 69 174 *διαγράψοι* ABM 176 sq. *διακρίνων* ABM, *διάκριναι* P: corr. Bachmann 177 *καὶ* P: *ὡς* ABM (*ὡς τεχνικὸς* A)

VIII deest hoc carmen in P, habent ABM 8 *δὲ* del. Duebner alii 9 *τίνα δὲ* BM 19 *τῆς* add. FKuhn 21 *ὁ* om. BM

την ἣν λογεῖον νῦν καλοῦμεν, ἡγμένος
ὑπὸκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμωιδίας·
αὐτῶν ἀπελθόντων δὲ πρὸς δῆμον βλέπων,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρειν,
ἐκ τετραμέτρων ἓξ τε καὶ δέκα στίχους,
ἀναπαιστικοὺς δὲ τοῖς μέτροις ἐφθέγγετο.
ἀντίστροφον δ᾽ ἔφασκεν· εἶτα δευτέρως
τοιῶιδε μέτρωι καὶ ποσῶι τόσων στίχων.
τοὺς δ᾽ αὖ στροφῆς λόγους τε σὺν ἀντιστρόφωι
ἅπας παλαιός πως ἐπίρρημα λέγει.
ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις.
ἂν οὖν ἐπὶ θέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἀψῖδος τόπων·
εἰ δ᾽ ὡς ἀπ᾽ ἀγροῦ, δεξιᾶς διὰ τόπων,
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπωι,
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις.
ὧν ἐκδραμόντων ἑπτάκις ἐστραμμένος
χορὸς καθώρα πρὸς διπλῆν δήμου στάσιν.
τὸ δ᾽ ἑπτασυστρόβητον ὄρχημα τόδε
παράβασιν ἔσχε τῶι γένει κλῆσιν φέρειν,
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους·
μακρὸν δὲ δὴ πνῖγός τε τὸ τρίτον πάλιν·
τέταρτον ὠιδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὖτέ τις ἐπίρρημα λέγει·
τὸ δ᾽ ἕκτον ἔσχε κλῆσιν ἀντωιδῆς φέρειν,
ἀντιστροφὴν ἅμα τε σὺν αὐτῆι λέγω·
τὸ δ᾽ ἕβδομόν τις ἀντεπίρρημα λέγει·
Τζέτζηι δ᾽ ἀρεστὸν οὐδαμῶς ἐστι τόδε
οὐδ᾽ αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει·
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο,
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον, νόει
στροφὰς καλεῖσθαι, σὺν δὲ μὴν ἀντιστρόφους.

---

25 *δὲ* om. BM 26 *φέρειν* ex *φέρων* corr. A: *φέρων* BM 29 *ἀντίστροφος ἔφασκεν* BM 30 i. e. eodem metro et totidem numero versuum 33 numeri corrupti: *δὲ ὦ παράβασις* M, idem A sed *ω* (?) ex *η* ut videtur correctum, *δὲ κλήσει παράβασις* FKuhn 35 *ἐδείκνυ δῆθε* verba suspecta 43 *γένει τὴν κλῆσιν* BM
45 omisit Tzetza *τὸ κομμάτιον*, cf. ad prooem. M a § 22 (p. 29) 49 *ἀντιστροφῆς* BM

τοὺς τετραμέτρους οὓς ἔφη δὲ τῶν στίχων
τρανῶς ἐπίρρημά τι τοὺς πρώτους λέγει,
τοὺς δευτέρους αὖ ἀντεπίρρημα πάλιν.
Τζέτζης μὲν αὐτὰ τῶν μερῶν τῆς ἑπτάδος
παρεξελὼν τε καὶ διώξας μακρόθεν
ᾠδὴν διαιρεῖ καὶ στροφὴν ὡς πρὸς δύο
ἀντιστροφὴν αὐτήν τε κἀντωιδὴν ἅμα,
οὕτω τε πληροῖ σοι πάλιν τὴν ἑπτάδα.
ᾠδὴν καλεῖ δὲ πρὸς θεούς τινας λόγους,
στροφὴν πάλιν δὲ τοὺς πρὸς ἄνθρωπον λόγους,
τὴν δ' ἀντοωιδὴν εἰς θεοὺς πάλιν λέγει,
ἀντιστροφὴν δὲ πρὸς γονὰς ἐτησίους.
ταῦτα μὲν οὕτω. καὶ ταδὶ δέ μοι μάθε,
ὡς ἡ παλαιὰ συγγραφὴ κωμωιδίας
ἦρτο πρὸς ὄγκον Ἀττικῆς γλώττης λόγοις,
ἐχρῆτο καὶ μέτροις δὲ ποικίλοις στίχων
χορῶν τε χρείαν εἶχεν. ἡ νέα δέ γε
γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις,
πλείστωι δὲ χρῆται τῶν ἰάμβων τῶι μέτρωι
καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποτρέχει.
τὸ τοῦ σκοποῦ δὲ πλάσμα καὶ λέξις ἅμα
παρεισφοροῦσιν ἡδονὴν κωμωιδίαις
καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον
ἐσχηματισμένα τε καὶ παρωιδίαι,
καὶ κλήσεων πλάσεις δὲ καὶ μεταπλάσεις,
σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα.
σκαμβῶν μετ' αὐτὰ νῦν μελῶν κλῆσιν μάθε·
λέγοντες ἦσαν ταῦτα καιροῖς τῶν πότων,
σκαμβὰ δ' ἔφασκον ὡς ἁπλᾶ μᾶλλον τάδε·
ἄλλοι δέ φασιν ὡς ἀναγκαῖον πότοις
ᾄδειν ὑπῆρχε πρὸς ψαλάγματα λύρας·
ὅσοις ἐνῆν δὲ μηδαμῶς λύρας τέχνη,

τῆς παραβάσεως ἢ μέρη· ἐκβάλλει μὲν τὸ ἐπίρρημα ἐκ τοῦ πέμπτου τόπου καὶ τὸ ἀντεπίρρημα ἐκ τοῦ ἑβδόμου. παράβασιν δὲ καλεῖ τὸ γένος καὶ τὸ πρῶτον ὄρχημα· τρίτον μακρὸν καὶ πνῖγος· τέταρτον ᾠιδὴν τὴν καὶ ἐπίρρημα· πέμπτην ἀντωιδὴν τὴν καὶ ἀντεπίρρημα· ἕκτον στροφήν· ἕβδομον ἀντιστροφήν   57 *ἐπιρρήματι* codd: corr. Hart   65 *ἀνθρώπων* AM   66 *ἀντοωδὴν* sic codd   82 *σκαμβά* i. e. *σκολιά*, quae utpote Dionysiaca carmina cum comoedia coniuncta tractavit etiam Vitae Aristophaneae auctor, qualis in Veneto Estensi aliis nonnullis codicibus est, cf. Duebner Schol. Ar. p. XXVIII adn.

δάφνης λαβόντες εἴτε μυρσίνης κλάδους
ᾖδον καλοῦντες σκαμβὰ τὰ λύρας μέλη.
ἄλλοι δὲ τοὺς ᾄδοντας εἶπον τὴν λύραν
οὐχὶ κατ᾽ εὐθὺ συστροφαῖς δὲ λαμβάνειν·
οὕτω τὸ λοιπὸν κλῆσιν ἔσχε τὰ μέλη.

IX. ΠΕΡΙ ΤΡΑΓΙΚΗΣ ΠΟΙΗΣΕΩΣ.

Ἄκουε λοιπὸν καὶ τὰ τῆς τραγῳδίας,
πόνοις περισσοῖς πρὶν ἐμοὶ συνηγμένα
ἐξ ὧν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
ἔγραψαν ἄνδρες ἐν λόγοις διηρμένοι.
τραγῳδία τί ἐστι πρὶν μαθὼν ἔγνως,
καὶ πῶς ἐφευρέθη δέ, καὶ διδασκάλους,
κλῆσιν ὁμοῦ, πράξεις τε πῶς λύει βίων·
νόει διαιρέσεις δὲ νῦν τραγῳδίας.
κατὰ τύπον πρῶτον μὲν εἰς μέρη δύο,
εἰς σκηνικόν τε καὶ χοροῦ δὲ τὸν τρόπον.
ἕκαστον αὐτῶν αὖ διαιρεῖσθαι νόει,
ᾠδὴν πρὸς αὐτὴν ἀλλὰ καὶ λέξιν λέγω.
ὑποκριτὴς ᾄδει γὰρ ἔν τινι χρόνωι,
χοροῦ λαλοῦντος ἃ λαλεῖν θέλει τότε.
ἡ λέξις αὖ δίχασμα διπλοῦν λαμβάνει
ὡς πρὸς μέτρον τε καὶ σὺν αὐτῶι περίοδον.
μέτρον τροχαίους σὺν ἰάμβοις μοι νόει,
ἰαμβικοὺς δὲ καὶ ἀναπαίστους περίοδον.
τομὴν τὸ μέτρον καὶ διαίρεσιν φέρει
εἴς τε προλόγους ἐπεισόδια καὶ ἔξοδον.
πρόλογος μέν ἐστι τὸ μέχρι χοροῦ τῆς εἰσόδου,

---

88 *μυρσίνους* A

IX habent eidem codices ABM, sed multo saepius ac gravius hoc in carmine BM ab A discrepant quam in prioribus duobus; cf. Hart p. 70   5 *τί* A: *τις* BM   7 *βίον* B, fort. *βίου*   10 scholium in A adscriptum: *τὸ χορικὸν μέρος ἦν πρότερον ἐκ λέξεως, ᾠδῆς καὶ ὀρχήσεως· ἡ ὄρχησις δὲ χρόνωι ἐπαύθη*   12 cf. v. 78   18 *περίοδον* A: *ἄθρει* BM, cf. v. 169   20 *εἴς τε πρὸς λόγους* A, *πρὸς λόγους* BM: corr. Duebner   *ἔξοδον* A: *ἔξοδόν γε* BM   20 sqq. cf. Aristot.

ἐπεισόδιον δέ ἐστιν, ὡς καὶ πρὶν ἔφην,
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο.
† δ' ἔξοδός τις τυγχάνει χοροῦ λόγος,
μεθ' ὃν χοροῖς οὐκ ἔστι τι λέγειν μέρος.
ἡ λέξις οὕτω τὴν διαίρεσιν φέρει,
τὰ ἃ διῃρέθη τε λέξεως λέγω.
τὴν σκηνικὴν ἄτμητον ᾠδήν μοι νόει,
τὴν τοῦ χοροῦ δὲ πενταχῇ τετμημένην·
τῶν τμημάτων κλήσεις δὲ πάροδος καὶ στάσιμον
ἥ τ' ἐμμέλεια, κομμὸς ἐξόδου μέτα.
ἐπὶ τὸ πλεῖστον εἶχε μὴν οὕτως τάδε,
καιροῖς μετετρέποντο δ' αἱ τάξεις ποτέ·
ἕκαστον αὐτῶν ἀκριβῶς δέ μοι μάθε.
ἡ μὲν πάροδος δὴ τοῖς θεαταῖς δεικνύει
δι' ἣν ἀφορμὴν ἡ χοροῦ κοινωνία
ἐγγίνεταί πως εἰς τὸ δράματος πάθος
ἄλλου χοροῦ λέξις τε πρώτη τυγχάνει.
ᾠδὴν ὁ Εὐκλείδης δὲ, λέξιν οὐ λέγει,
ᾠδὴν χοροῦ πρώτιστον αὐταῖς εἰσόδοις,
ὡς 'σῖγα σῖγα λευκὸν ἴχνος ἀρβύλης' (Eur. Or. 140),
ταὐτὸν τάχα λέγοντες ἐν πολλοῖς λόγοις.
μετὰ πάροδον Εὐκλείδης ἐπιπάροδον λέγει,
ἄλλου χοροῦ δ' ἔλευσιν αὐτήν μοι λέγε
χοροῦ μετ' ἐξέλευσιν ὅς πρὶν ἦν λέγων.
ἔγνως μὲν αὐτά. τὸ στάσιμον δέ μοι μάθε·
μετ' εἴσοδον μὲν ἔσχε τὴν τάξιν φέρειν,
ὅταν τὸ πρῶτον ἐπεισόδιον μὲν γίνεται,
τῶι δράματι δ' οὔπω τι τῶν σκυλμῶν μέρος
εἴτ' οὖν μετ' αὐτῶν ἀξιόχρεων πάθος.
ἄλλοι δὲ τὸ στάσιμον χοροῦ φασι μέρος
ἄνευ ἀναπαίστου καὶ τροχαίου τῶν μέτρων.
πάλιν ὁ Εὐκλείδης δέ φησιν ὧδέ πως·

---

22 *ἐπεισόδιος δέ* A, *ἐπεισόδιος* BM; praestat fort. *ἐπείσοδος*, ut est VIII 14 *πρὶν ἔφην* A: *προέφην* BM 30 *καὶ* om. BM 31 *ἔξοδος μέτα* BM, cf. v. 85 32 *μὴν* FKuhn: *μὲν* codd 35 *ἡ πάροδος μὲν τοῖς* BM 38 *ἄλου χοροῦ* OMueller Mus. Rh. V 361, cf. Arist. Poet. c. 12; non recte *ἄλλως* Consbruch 43 *Εὐκλείδης* om. B 44 *ἀλλ' οὐ* BM *λέγε* scripsi: *λέγει* codd 46 *τὸ* om. B 48 *μὲν γίνεται* AM: *δρᾶται* (om. *μὲν*) B 50 *ἀξιόχρεων μετ' αὐτῶν πάθος* BM 51 *τὸ στάσιμον δέ φασι χοροῦ μέρος* (om. *ἄλλοι*) BM 52 *ἄνευ* A: *πλὴν* BM

ὅταν χορὸς στάς τι κατάρχεται λέγειν,
ὡς δράματι μὲν υἱοῦ Θησέως γράφει (Hipp. 120)
'Ὠκεανοῦ τις ὕδωρ στάζουσα πέτρα λέγεται',
καὶ ταῦτα πολλοῖς ἐν τελοῦσι τοῖς λόγοις.
τὴν ἐμμέλειαν τοιγαροῦν μοι λεκτέον·
ἤδη προκοπτούσης δὲ τῆς τραγωιδίας
τὴν ἐμμέλειαν ἦιδον ὠιδῆς τι μέλος,
τὴν ἣν ὁ Εὐκλείδης μὲν οὐδαμῶς γράφει.
μετ' ἐμμέλειαν κομμὸς ἦν λελεγμένος
ἀκμὴν πρὸς αὐτὴν ἠρμένης τραγωιδίας·
οὗτος δ' ὁ κομμὸς τοῦ χοροῦ τελῶν μέλος
ὑποκριταῖς ἦν ὡς πολὺ συνηγμένος·
κομμὸς δὲ θρήνου πενθικώτερον πλέον,
ὁ θρῆνός ἐστι δ' ἠρεμέστερον μέλος.
κομμὸν πάλιν ἄλλος δέ τις θρῆνον λέγει,
κοινὸν χοροῦ σκηνῆς τε τυγχάνειν λέγων,
καὶ τἄλλα ταὐτά· τί πλατύνομεν λόγους;
τὰ τέσσαρα νῦν τοῦ χοροῦ μαθὼν μέρη
τὴν ἔξοδον τὸ πέμπτον ἀκροῶ μέρος,
ὅπερ μετ' ἐμμέλειάν ἐστιν εἰς τέλος·
τραγωιδίας δ' ὄρχησις αὕτη τυγχάνει.
μέρη τὰ πρῶτα τῆς τραγωιδίας ἔγνως,
τὸν σκηνικόν τε καὶ χοροῦ λέγω τρόπον,
ἄμφω τε τούτων τὴν διπλῆν τομὴν πάλιν,
ὠιδὴν πρὸς αὐτὴν ἀλλὰ καὶ λέξιν λέγω,
τῆς λέξεως δὲ μέτρα καὶ τὴν περίοδον,
καὶ τὴν τομὴν μέτρου δὲ τὴν τρισσουμένην
τὴν εἰς πρόλογον ἐπεισόδιον καὶ ἔξοδον —
ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε,
ὠιδῆς χοροῦ τε πενταπλᾶς διαιρέσεις,
ἅπερ εἰσὶν ἡ πάροδος ὁμοῦ καὶ τὸ στάσιμον,
ἥ τ' ἐμμέλεια, κομμὸς ἐξόδου μέτα
(ἡ σκηνικὴ γὰρ οὐ διαίρεσιν φέρει) —
ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε,

---

55 *Θησέως υἱοῦ* FKuhn *γράφει* BM: *γράφει* superscr. *λέγει* A 56 *λέγεται* om. B, totum versum om. M, cf. v. 112 57 *ἐντελοῦσι* BM 60 *μέρος* Westphal 67 *δ' ἐστὶν* codd *μέλος* Wilamowitz: *μέρος* codd 70 *ταῦτα* BM 74 *αὐτὴ* BM 79 *καὶ τῆς λέξεως μέτρα περίοδόν τε* BM 81 *εἰς πρόλογον*

ἄκουε πάντα νῦν μέρη τραγῳδίας,
ἃ πρὶν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
γράψαντες ὡς γράφουσι συμπεφυρμένως
καὶ συνθολοῦσι πάντας ἠκροαμένους,
μέρη λέγοντες ἐννέα πεφυκέναι,
ἄλλα μὲν ἄλλος. ἃ τὰ νῦν μοι λεκτέον.
καὶ δὴ κατ᾽ Εὐκλείδην μὲν ἀκροῶ τίνα·
πρόλογος, ὁ ἄγγελός τε καὶ ἐξάγγελος,
πάροδος, ἐπιπάροδος, μεθ᾽ ὧν καὶ τὸ στάσιμον,
ἕβδομον ὑπορχηματικόν, ἀμοιβαῖον ἔπειτα,
τὸ σκηνικὸν τάττει δὲ πάντων ἐσχάτως.
πρῶτον λόγον δὲ τυγχάνειν γίνωσκέ μοι
τῶν ὧν θέλει λέγειν τις ἐκθέσεις λόγων·
ὃς δ᾽ ἂν τὰ ἔξω τοῖς ἔσωθι μηνύει,
εἴληχε, φησίν, ἀγγέλου κλῆσιν φέρειν·
ἐκ δεξιῶν βαίνει δὲ πρὸς λαιὸν μέρος.
ἐξάγγελος πάλιν δὲ τὴν κλῆσιν φέρει
τοῖς ἐκτὸς ὅστις μηνύει τὰ τῶν ἔσω·
διὰ στοᾶς δ᾽ ἔβαινε τῆς λαιᾶς τότε.
πάροδος δὲ ᾠδὴ τοῦ χοροῦ ἅμ᾽ εἰσόδωι,
ὥσπερ τὸ ‘σῖγα λευκὸν εἶδος ἀρβύλης’.
ἐπιπάροδος ἔλευσις δὲ δευτέρου χοροῦ,
μετ᾽ ἐξέλευσιν τοῦ χοροῦ τοῦ πρὶν λέγω.
ὅταν χορὸς στὰς δ᾽ ἐμπαράιδηι τι μέλος,
ὡς ‘Ὠκεανοῦ τις ὕδωρ λέγεται στάζειν πέτρα’,
στάσιμον τὸ μέρος εἴληχε τὴν κλῆσιν φέρειν.
τὴν δ᾽ ἐμμέλειαν οὗτος ὑπόρχησιν λέγει,
ᾠδὴν χοροῦ τελοῦσαν ὀρχησμοῦ μέτα,
ἢ μᾶλλόν ἐστι πρέπουσα δράμασι τῶν σατύρων·
αὐτοὶ σὺν ὀρχήσει γὰρ ᾖιδον τῶι πάλαι.
τὸ δ᾽ ἐξ ἀμοιβῆς πρὸς λόγους ἐστὶ λόγος·
τὸ σκηνικὸν δὲ τυγχάνειν εἶναι νόει,

---

93 *ταννῦν* A: *τῶν νῦν* BM, quod fuerit *τὸ νῦν* 95 *ὁ ἄγγελος ἐξάγγελός τε* BM 96 *ἐπιπάροδος καὶ στάσιμον* BM 97 versum ne Tzetza quidem dignum habet A: *ἕβδομον ὑπορχηματικὸν σὺν τούτοις, | ἀμοιβαῖον ἔπειτα. ταῦτα μὲν οὕτως* BM 102 *εἴληχε, φησίν* A: *εἴληχεν οὗτος* BM 103 *λαιὸν* A: *λάλον* BM 107 *πάροδος ᾠδὴ χοροῦ ἅμα εἰσόδωι* BM 108 leg. *ἴχνος*, cf. v. 41 109 *ἐπιπάροδος χοροῦ ἔλευσις ἄλλου* (i. e. *δευτέρου*) BM 112 *πέτρα* om. BM, cf. v. 56 113 *τὸ* et *τὴν* om. BM 114 *ἐμμέλειαν δ᾽ οὗτος* BM 116 *ἐστι* om. BM 118 *ἡ δ᾽ ἐξ* BM

ὑποκριτοῦ πρόσωπον ἂν ᾠδὴν λέγηι.
τραγῳδίας μέρη μὲν Εὐκλείδηι τάδε.
  ἄλλοι δέκα λέγουσι τῆι κλήσει τάδε,
πρόλογόν τε ῥῆσιν καὶ ἀμοιβήν, ἄγγελον
ἐξάγγελόν τε, σκηνικὴν ᾠδὴν ἅμα,
πρὸς οἷσπερ ἄλλη τῶν μερῶν τετρὰς μέτρωι
κούρισμα, σάλπιγξ καὶ σκοπὸς χοροῦ μέτα,
ἃ πέντε πρὶν ἔγνωκας Εὐκλείδου λογοις,
πρῶτον λόγον μέν, ἀγγέλους, ἐξαγγέλους,
πρὸς οἷς ἀμοιβήν, σκηνικῆς ᾠδῆς τρόπον.
τὰ πέντε λοιπόν σοι κατ᾽ αὐτοὺς λεκτέον,
τί ῥῆσίς ἐστι καὶ τὰ λοιπὰ δ᾽ αὖ μέρη,
κούρισμα, σάλπιγξ καὶ σκοπὸς χοροῦ μέτα,
ἅπερ παρειάθησαν Εὐκλείδηι λόγοις.
καθὼς τὰ Εὐκλείδου μὲν αὐτῶν τοῖς λόγοις,
ἄκουε λοιπὸν τῶν μερῶν τὴν πεντάδα.
ῥῆσις λόγος τίς ἐστιν ἐξηγημάτων
ὑποκριτοῦ λέγοντος ὡς πρὸς τοὺς ὄχλους,
ὡς ἐστὶ τοῦτο τοῖς Εὐριπίδου λόγοις
'τὰ μὲν πυλωρῶν κλεῖθρά μ᾽ εἰσεδέξατο' (Phoen. 261).
κούρισμα δ᾽ ᾠδὴ συμφορᾶς πληρεστάτη,
ταύτην ἀιδόντων τὰς τρίχας κεκαρμένων.
σάλπιγξ λόγος δὲ συμβολὰς μαχῶν λέγων.
σκοπὸς δ᾽ ὁ δηλῶν ἐκ ξένης παρουσίαν,
πόρρωθεν αὐτοὺς εἰσορῶν καὶ προβλέπων.
χορὸς δέ τι σύστημα πρὸς μέλος λέγων.
οὕτω μὲν οὗτοί φασι συμπεφυρμένως·
ὅταν ὁ Εὐκλείδης δὲ καὶ Κράτης γράφων
ἄλλοι τε πολλοὶ τῶν λόγοις διηρμένων,
ἄνθρωπε, κἂν κράζωσι τοῖς στροφοῖς λόγων,
τὰ σκηνικὰ γράφοντες ἐμπεφυρμένως,
μάθηις δὲ μηδὲν ἐξ ἐκείνων ὧν θέλεις,

121 *Εὐκλείδης* M 122 sic schol. Dion. Thr. Cram. An. Ox. IV 308 123 *πρόλογον ῥῆσιν ἀμοιβὴν καὶ ἄγγελον* BM 125 *μέτρωι* non intellego 133 *παρειέθησαν* BM 138 *λόγοις Εὐριπίδου* FKuhn 140 sqq. ex una Phoenissis fabula, ut vidit Wilamowitz, haec petita, *κούρισμα* Iocastae (322), *σάλπιγξ* nuntius alter (cf. 1377), *σκοπός* Antigona (102) 144 *προσβλέπων* A 147—150 om. B 148 *λόγων* M 149 *κράξωσι* A ad v. 150 scholium *Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ ἕτεροι κατὰ τὸν Τζέτζη. διαίρεσις σκηνικῶν δραμά-*

Τζέτζηι προσελθὼν ἀκριβῶς ἅπαν μάθε
λόγωι διαυγεῖ καὶ σαφεῖ καὶ συντόμωι·
καὶ δὴ τὸ πᾶν ἄκουε λεπτῶι τῶι τρόπωι.
κατὰ τύπον πρῶτον μὲν εἰς μέρη δύο,
εἴς τε πρόσωπα καὶ σὺν αὐτοῖς εἰς λόγους,
τέχνην διαιρεῖ κωμικήν, τραγωιδίαν,
καὶ τὴν τρίτην ποίησιν, ἣ τούτων μέση.
τὰ δ' αὖ πρόσωπα δευτέραι διαιρέσει
εἰς σκηνικόν τε καὶ χορὸν τέμνει πάλιν,
ὑποκριτὴν ἕνα τε καὶ πολλοὺς λέγω.
τὸ σκηνικὸν πρόσωπον αὖ τέμνει πάλιν
εἴς τε σκοπούς, σάλπιγγας, εἰς τοὺς ἀγγέλους
ἐξαγγέλους τε πρὸς τρισὶν οἷσπερ λέγω.
τὰ τοῦ χοροῦ δ' ἄτμητα παντελῶς λέγει.
τὰ τῶν προσώπων ταῦτα· τοὺς λόγους πάλιν
ἑξῆς διαιρεῖ πρὸς μέτρα καὶ περιόδους.
μέτρα τροχαίους σὺν ἰάμβοις μοι νόει,
τοὺς δ' αὖ ἰάμβους σὺν ἀναπαίστοις περίοδον.
τὰ μέτρα ταῦτα σὺν περιδρόμοις ἅμα
πάλιν διαιρεῖ πρὸς τὰ τέσσαρα μέρη,
προλόγους τε ῥῆσιν, ἐπεισόδιον καὶ ἔξοδον·
εἰς τὰς ἀμοιβάς, εἰς λόγους κουρισμάτων,
εἰς σκηνικὴν ὠιδήν τε καὶ χορευμάτων.
τὴν σκηνικὴν ἄτμητον ὠιδὴν αὖ λέγει·
τὴν τοῦ χοροῦ δὲ τετραχῆ τετμημένην,
εἰς πάροδον, ἐπιπάροδον, στάσιμον, ὀρχηματικόν·
ἅπερ φέρει σύμπαντα καὶ κωμωιδία
καὶ τὴν παράβασιν ἐς πλέον τούτων φέρει·
ἧς παραβάσεως ἑπτὰ τελοῦσι τὰ μέρη,
ἃ πρὶν σαφῶς ἤκουσας ἐν λεπτῶι λόγωι
ὡς πάντα τἄλλα· καὶ στραφεὶς βλέπων μάθε.
ἐπεὶ δὲ καλῶς πάντα σοίπερ ἐγράφη,
ἄκουε λοιπὸν τί τέλος τραγωιδίας·
μίμησις ἠθῶν, πράξεων, παθημάτων,

---

167 *καί* om. BM 169 *ἰάμβους περίοδον σὺν ἀναπαίστοις* omissis verbis *τοὺς δ' αὖ* BM 170 *συμπεριδρόμοις* codd, *περίδρομος* i. q. *περίοδος* 172 *πρὸς λόγους* A, *λόγους* BM, cf. v. 20. 123; *λόγους ἐπεισόδιον ἔξοδον ῥῆσιν* BM 175 *τὴν σκηνὴν ὠιδὴν ἄτμητον αὖ λ.* BM 177 *εἴς τε πάροδον ἐπιπάροδον ἅμα· στάσιμον γὰρ συνορχηματικόν τε* BM 179 *τήν* om. BM 180 *μέρη παραβάσεως ἑπτὰ τελοῦσι* BM

ἡρωικοῦ τρόπου τε τῆς τραγωιδίας,.
σεμνοπρεπὴς λέξις τε καὶ διῃρμένη.
χρῶνται δέκα μέτροις δὲ ταῖς τραγωιδίαις,
διπλοῖς ἰάμβοις καὶ διπλοῖς τοῖς δοχμίοις
καὶ τοῖς τροχαίοις, κρητικοῖς καὶ δακτύλοις,
βακχειακοῖς ἁπλοῖς τε καὶ διπλοῖς λέγω,
καὶ τοῖς χορείοις προσοδιακοῖς τε τοῖς μέτροις,
καὶ τοῖς προκελευσματικοῖς ἐπόλιζον αὖ μέτροις
ἰωνικοῖς τε τοῖς ἐλάττοσι λέγω.
ἀντιστροφαῖς μὲν καὶ μελῶν χρῶνται στάσει
τοῖς οἷς δεκαπλοῖς νῦν ἐγράψαμεν μέτροις·
τοῖς δ' αὖ τροχαίοις κρητικοῖς καὶ δοχμίοις
ἄλλοις τε μέτροις, οἵπερ εὔδρομοι φύσιν,
χορειομίκτοις σὺν ἰαμβείωι μέτροις
χρῶνται πρὸς αὐτὰς συγγραφὰς τῶν κομμάτων.
ἐπεὶ δὲ πάντα σοι σαφῶς νῦν ἐρρέθη,
καὶ τερματούσθω τοιγαροῦν τὸ βιβλίον.

---

187 *σεμνοπρεπῶς* ABM: corr. Duebner 192 *τοῖς* utrumque om. BM 193 *καὶ τοῖς* om. BM *αὖ μέτροις* A: *αὖθις* BM 195 *χρῆται* codd: corr. **FKuhn**

X. TRACTATVS COISLINIANVS.

1. *Τῆς ποιήσεως*

ἡ μὲν ἀμίμητος

ἱστορική — *παιδευτική*

ὑφηγητική — *θεωρητική*[1]

ἡ δὲ μιμητή[2]

τὸ μὲν ἀπαγγελτικόν[3] — *τὸ δὲ δραματικὸν καὶ πρακτικόν*

κωμῳδία — *τραγῳδία* — *μίμους* — *σατύρους*[4]

2. *ἡ τραγῳδία ὑφαιρεῖ τὰ φοβερὰ παθήματα τῆς ψυχῆς δι' οἴκτου καὶ δέους· καὶ ὅτι*[5] *συμμετρίαν θέλει ἔχειν τοῦ φόβου· ἔχει δὲ μητέρα τὴν λύπην.*

3. *κωμῳδία ἐστὶ μίμησις πράξεως γελοίου καὶ ἀμοίρου μεγέθους τελείου, χωρὶς*[6] *ἑκάστου τῶν μορίων ἐν τοῖς εἴδεσι, δρώντων καὶ ⟨οὐ⟩ δι' ἀπαγγελίας*[7], *δι' ἡδονῆς καὶ γέλωτος περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν*[8]*· ἔχει δὲ μητέρα τὸν γέλωτα. γίνεται δὲ ὁ γέλως*[9]

X Edidit e cod. Coisliniano 120 (saec. X) Cramerus An. Par. I 403, tum meliore M. Bonneti apographo usus Bernays Zwei Abhandl. über d. Aristot. Theorie des Drama (Berol 1880) p. 137; repetiit praeter alios Vahlen Arist. Poet. ed. 3 p. 78. excerpta haec ex ampliore sive de poetica universa sive de poesi scaenica libro; supersunt quae de similitudine vel dissimilitudine tragoediae et comoediae exposita erant. praemissa est litterarum omnium divisio in partes duas, quarum altera prosae orationis monumenta (*ποίησιν ἀμίμητον*), altera carmina complectitur, cf. Comment. societ. Gotting. 1897 vol. II 4 p. 53 scriptorem ignotum Aristotelis de Poetica libro integriore usum esse 'praesertim *ἐν τοῖς περὶ τοῦ γελοίου*' coniecit Cramer conl. Arist. Rhet. III p. 1419 b 6 *εἴρηται πόσα εἴδη γελοίων ἔστιν ἐν τοῖς Περὶ ποιητικῆς.* argumentando hoc conprobare studuit Bernaysius, ut tamen vere Aristotelicis haud pauca aliena et inepta admixta esse demonstraret. singula singillatim adnotabo.

1 *ὑφηγητική* et *θεωρητική* in codice partes sunt non *τῆς παιδευτικῆς* sed *τῆς* … rrorem notavit Bergk 2 fort. *μιμητική* 3 *ἐπαγγελτικόν* cod: corr. … ativi *μίμους σατύρους* hominis indiligenter excerpentis vestigia … ium, cf. § 6 6 ⟨*ἡδυσμένῳ λόγῳ*⟩ *χωρὶς* Vahlen 7 *δρῶν-* …', quod videbatur corrigendum 8 definitio comoediae ad … ite facta, cf. Arist. Poet. 6 p. 1449 b 24 9 similis … b 35 *ἀνάγκῃ καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ ἀνθρώπους*

ἀπὸ τῆς λέξεως — ἀπὸ τῶν πραγμάτων

ἀπὸ τῆς λέξεως:
- κατὰ ‑ωνυμίαν[10]
- συνωνυμίαν[11]
- ἀδολεσχίαν[12]
- παρωνυμίαν[13]
  - παρὰ πρόσθεσιν καὶ ἀφαίρεσιν
- ὑποκόρισμα[14]
- ἐξαλλαγὴν[15]
  - φωνῆι
  - τοῖς ὁμογενέσι
- σχῆμα λέξεως[16]

ὁ ἐκ τῶν πραγμάτων γέλως:
- ἐκ τῆς ὁμοιώσεως
  - ‑ήσει
  - ‑ρὸς τὸ ‑εῖρον
  - πρὸς τὸ βέλτιον
- ἐκ τῆς ἀπάτης
- ἐκ τοῦ ἀδυνάτου
- ἐκ τοῦ δυνατοῦ καὶ ἀνακολούθου
- ἐκ τοῦ παρὰ προσδοκίαν
- ἐκ τοῦ κατασκευάζειν τὰ πρόσωπα πρὸς τὸ μοχθηρόν
- ἐκ τοῦ χρῆσθαι φορτικῆι ὀρχήσει
- ὅταν τις τῶν ἐξουσίαν ἐχόντων παρεὶς τὰ μέγιστα φαυλότατα[17] λαμβάνηι
- ὅταν ἀσυνάρτητος ὁ λόγος ἦι καὶ μηδεμίαν ἀνακολουθίαν ἔχων

---

10 cf. Arist. Soph. el. p. 165b 30 11 Simplicius Categ. p. 43a 13 *καὶ γὰρ καὶ ὁ Ἀριστοτέλης ἐν τῶι Περὶ ποιητικῆς* ‑*νώνυμα εἶπεν εἶναι ὧν πλείω μὲν τὰ ὀνόματα, λόγος δὲ ὁ αὐτός, οἷα δή ἐστι τὰ πολυώνυμα τό τε λώπιον καὶ ἱμάτιον καὶ τὸ* ‑*ἶρος*, cf. Rhet. III 1404b 37 12 Arist. Soph. el. p. 165b 15 *ἀδολεσχῆσαι ... τοῦτο δ' ἐστὶ τὸ πολλάκις ἀναγκάζεσθαι τὸ αὐτὸ* ‑*γειν* 13 v. Tzetzae P a § 17 (supra p. 19) 14 Arist. Rhet. III 1405b 28 *ἐστὶν δὲ ὁ ὑποκορισμὸς ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν* ‑*ὶ τὸ ἀγαθόν, ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματι*‑*ρίον, ἀντὶ δὲ λοιδορίας ⟨καὶ νόσου⟩ λοιδορημάτιον καὶ νοσημάτιον* 15 *ἐξαλλαγὴ ὀνομάτων* v. Arist. Poet. 21 p. 1458a 5. 22 1458b 2. Rhet. III p. 1404b 8; verba *φωνῆι* et *τοῖς ὁμογενέσι* ad *σχῆμα λέξεως* refert Tzetzes l. s.; sed v. Bernays p. 176 ‑ Arist. Soph. el. p. 166b 10 *οἱ δὲ (τοῦ ἐλέγχειν τρόποι) παρὰ τὸ σχῆμα τῆς λέξεως συμβαίνουσιν, ὅταν τὸ μὴ ταὐτὸ ὡσαύ*‑*τως ἑρμηνεύηται, οἷον τὸ ἄρρεν θῆλυ ἢ τὸ θῆλυ ἄρρεν ἢ τὸ μεταξὺ θάτερον τούτων κτλ.* 17 *φαυλότητα* cod: corr. ‑rgk, fort. ⟨*τὰ*⟩ *φαυλότατα*

4. *διαφέρει ἡ κωμωιδία τῆς λοιδορίας· ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν, ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως.*[18]

5. *ὁ σκώπτων ἐλέγχειν θέλει ἁμαρτήματα τῆς ψυχῆς καὶ τοῦ σώματος.*

6. *συμμετρία*[19] *τοῦ φόβου θέλει εἶναι ἐν ταῖς τραγωιδίαις καὶ τοῦ γελοίου ἐν ταῖς κωμωιδίαις.*

7. *κωμωιδίας ὕλη*[20]

μῦθος ἦθος διάνοια λέξις μέλος ὄψις.

μῦθος κωμικός ἐστιν ὁ περὶ γελοίας πράξεις ἔχων τὴν σύστασιν. ἤθη κωμωιδίας τά τε βωμολόχα καὶ τὰ εἰρωνικὰ καὶ τὰ τῶν ἀλαζόνων.[21] *διανοίας μέρη δύο, γνώμη καὶ πίστις.*

⟨πίστεις⟩ ε'[22]

ὅρκοι συνθῆκαι μαρτυρίαι βάσανοι νόμοι

8. *κωμική ἐστι λέξις κοινὴ καὶ δημώδης. δεῖ τὸν κωμωιδοποιὸν τὴν πάτριον αὐτοῦ γλῶσσαν τοῖς προσώποις περιτιθέναι, τὴν δὲ ἐπιχώριον αὐτῶι ἐκείνωι.*[23] *μέλος τῆς μουσικῆς ἐστιν ἴδιον· ὅθεν ἀπ' ἐκείνης τὰς αὐτοτελεῖς ἀφορμὰς δεήσει*[24] *λαμβάνειν. ἡ ὄψις μεγάλην χρείαν τοῖς δράμασι τὴν συμφωνίαν*[25] *παρέχει. ὁ μῦθος καὶ ἡ λέξις καὶ τὸ μέλος ἐν πάσαις κωμωιδίαις θεωροῦνται, διάνοια*[26] *δὲ καὶ ἦθος καὶ ὄψις ἐν ὀλίγαις.*

9. *μέρη τῆς κωμωιδίας τέσσαρα*[27]

πρόλογος χορικόν ἐπεισόδιον ἔξοδος.

---

18 Arist. Eth. Nic. IV p. 1128a 20 *ἡ τοῦ ἐλευθερίου παιδιὰ διαφέρει τῆς τοῦ ἀνδραποδώδους, καὶ αὖ τοῦ πεπαιδευμένου καὶ ἀπαιδεύτου· ἴδοι δ' ἄν τις καὶ ἐκ τῶν κωμωιδιῶν τῶν παλαιῶν καὶ τῶν καινῶν· τοῖς μὲν γὰρ ἦν γελοῖον ἡ αἰσχρολογία, τοῖς δὲ μᾶλλον ἡ ὑπόνοια* (i. e. *ἡ ἔμφασις*) 19 *σύμμετρα* cod: corr. e § 2 20 cf. Arist. Poet. c. 6 21 Arist. Eth. Nic. II p. 1108a 21 *ἡ δὲ προσποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δὲ ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων. περὶ δὲ τὸ ἡδὺ τὸ μὲν ἐν παιδιᾶι ὁ μὲν μέσος εὐτράπελος καὶ ἡ διάθεσις εὐτραπελία, ἡ δὲ ὑπερβολὴ βωμολοχία καὶ ὁ ἔχων αὐτὴν βωμολόχος κτλ.* 22 *ιε'* cod. teste Cramero, //ε̂ teste Bonneto: suppletum ex Arist. Rhet. I 1375a 24 *εἰσὶν δὲ πέντε τὸν ἀριθμόν* (*αἱ ἔντεχνοι πίστεις*), *νόμοι μάρτυρες συνθῆκαι βάσανοι ὅρκος.* ceterum inepte haec addita esse sensit Cramerus 23 *αὐτῶι τῶι ξένωι* Bernays, requiri videtur *τὴν δὲ ἐπιχώριον ἑκάστου τῶι ξένωι* 24 *δεήσῃ* cod 25 *τῆι ψυχαγωγίαι* vel *πρὸς τὴν ψυχαγωγίαν* Bernays conl. Arist. Poet. 6 p. 1450b 17 26 *διάνοιαι* cod: corr. Bergk 27 cf. Arist. Poet. c. 12

πρόλογός ἐστιν μόριον κωμωιδίας τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ἀιδόμενον ὅταν ἔχηι μέγεθος ἱκανόν. ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν. ἔξοδός ἐστι τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ.

10. *τῆς κωμωιδίας*

παλαιά, ἡ πλεονάζουσα τῶι γελοίωι	*νέα, ἡ τοῦτο μὲν προιεμένη, πρὸς δὲ τὸ σεμνὸν ῥέπουσα*	*μέση, ἡ ἀπ' ἀμφοῖν μεμιγμένη*

XI. DIOMEDIS
ARTIS GRAMMATICAE LIBRI III CAPUT DE POEMATIBUS.

p. 482 K. Hactenus originem et historiam generalium pedum exposuimus; I poematum genera metrorumque tractatus ostendere tempus est.

Poematos genera sunt tria: aut enim activum est vel imitativum, 2 quod Graeci *δραματικόν* vel *μιμητικόν*, aut enarrativum vel enuntiativum, quod Graeci *ἐξηγητικόν* vel *ἀπαγγελτικόν* dicunt, aut commune vel mixtum, quod Graeci *κοινόν* vel *μικτόν* appellant. *δραματικόν* 3 est vel activum in quo personae agunt solae sine ullius poetae interlocutione, ut se habent tragicae et comicae fabulae (quo genere scripta est prima bucolicon et ea cuius initium est *Quo te, Moeri, pedes*); *ἐξηγητικόν* est vel enarrativum in quo poeta ipse loquitur sine ullius personae interlocutione, ut se habent tres georgici et prima pars quarti, item Lucreti carmina et cetera his similia; *κοινόν* est vel commune in quo poeta ipse loquitur et personae loquentes introducuntur, ut est scripta Ilias et Odyssia tota Homeri et Aeneis Vergilii et cetera his similia.

Poematos dramatici vel activi genera sunt quattuor: apud Grae- 4 cos tragica comica satyrica mimica, apud Romanos praetextata tabernaria Atellana planipes.

Diomedea et duplicem de comoedia tractatum recensuit F. Leo

Scripturae sine signo consensum reddunt codicum A (Puteanei) B (Parisini) M (Monacensis) 3 DE POEMATVS *inscribit A* 4 *vocabula graeca latinis litteris scripta* [illegible]

5 Exegetici vel enarrativi species sunt tres: *ἀγγελτική, ἱστορική,*
διδασκαλική. *ἀγγελτική* est qua sententiae scribuntur, ut est Theo-
gnidis liber, item chriae; *ἱστορική* est qua narrationes et genealogiae
componuntur, ut | est *Ἡσιόδου γυναικῶν κατάλογος* et similia; *διδασκα-* p. 483
λική est qua comprehenditur philosophia, Empedoclis et Lucreti, item
astrologia, ut phaenomena *Ἀράτου* et Ciceronis, et georgica Vergilii et
his similia.

6 *Κοινοῦ* vel communis poematos species prima est heroica, ut est
Iliados et Aeneidos, secunda elegiaca * * ut est Archilochi et Horati.

II Poematos *χαρακτῆρες* sunt quattuor: *μακρός, βραχύς, μέσος,*
⟨ἀνθηρός⟩. *μακρός* est *χαρακτήρ* ut apud Vergilium in XI, ubi de
Camilla facit narrationem sic *(v. 539)*, aut ut se habent II et III liber;
βραχύς est ut in V, ubi de Ganymede strictim narrat sic *(v. 250—253)*;
μέσος est ut in I *(343 sq.)*: est enim castigata narratio, sic tamen ut
omnia complexa sit; *ἀνθηρός* ut in VII, ubi amoenitatem luci ac flu-
minis describendo facit narrationem sic *(v. 30—34)*.

III Epos dicitur graece carmine hexametro divinarum rerum et heroi-
carum | humanarumque comprehensio; quod a Graecis ita definitum est: p. 484
ἔπος ἐστὶν περιοχὴ θείων τε καὶ ἡρωικῶν καὶ ἀνθρωπίνων πραγμά-
2 *των.* latine paulo communius carmen auditur. epos latinum primus
digne scripsit Ennius, qui res Romanorum decem et octo complexus est
libris, qui et Annales inscribuntur, quod singulorum fere annorum actus
continent, sicut publici annales quos pontifices scribaeque conficiunt, vel
3 Romais, quod Romanorum res gestas declarant. epos autem appel-
latur, ut Graecis placet, *παρὰ τὸ ἕπεσθαι ἐν αὐτῷ τὰ ἑξῆς μέρη τοῖς*
πρώτοις. praecipue vero hexameter versus *ἔπος* dicitur, quoniam qui-
dem hoc versu verba responsi in mutuam, ut sic dixerim, consequentiam
primus deus vates comprehendit, unde postea abusive verbum et solutae
4 orationis ipsa scriptura consequens ab aliis *ἔπος* dictum. *ῥαψῳδία*

---

19 poematos *add. Reifferscheid* 21 diriae *BM* 26 DE SPECIE POEMATOS COMMVNIS 27 eliaca *supplevit Vsener relat. acad. Bav. 1892, 615* ⟨ut est Callimachi et Properti, tertia iambica⟩ archiloci et oratius 28 *loci de characteribus prima verba* (poematos ch. s. quattuor) *excipit locus de epica poesi* epos dicitur — ut sic dixerim *(v. 35—45), sequitur iterum* poematos characteres sunt hi brachys macros mesos. macros est *e. q. s., deinde suo ordine de epica poesi iterum* 30 secundi et tertii libri 37 esten 38 audit *Santen; aliquid deficere videtur* 39 scripsit is qui decem et octo *altero loco,* quindecim *altero* 40 scribuntur 41 contineant puplici *altero loco,* publi *altero AM* 41. 42 vel romanis 43 autoic *altero loco,* autoi *fere altero* 46 verbum *del. Iahn*

dicitur graece *ποιήσεως μέρος* (aliqua particula discreta atque divulsa),
dicta *παρὰ τὸ ῥάπτειν,* quod versus in unum volumen velut consuantur
et comprehendantur, vel quod olim partes Homerici carminis in theatra-
libus circulis cum ⟨*ῥάβδῳ*⟩ [baculo] id est virga pronuntiabant, qui ab
eodem Homero dicti *Ὁμηρισταί.*

E l e g i a est carmen compositum hexametro versu pentametroque IV
alternis ⟨in⟩ vicem positis, ut *(Tib. I 1, 1. 2).* quod genus carminis
praecipue scripserunt apud Romanos Propertius et Tibullus et Gallus,
imitati Graecos Callimachum et Euforiona. elegia autem dicta sive 2
παρὰ τὸ εὖ λέγειν τοὺς τεθνεῶτας (fere enim defunctorum laudes
hoc carmine comprehendebantur) sive *ἀπὸ τοῦ ἐλέου,* id est miseratione,
quod *θρήνους* Graeci ⟨vel⟩ *ἐλεεῖα* isto metro scriptitaverunt; cui opi-
nioni consentire videtur Horatius, cum ad Albium Tibullum elegiarum |
p. 485 auctorem scribens ab ea quam diximus miseratione elegos miserabiles
dicit, hoc modo: *neu miserabiles decantes elegos.* apud Romanos autem
id carmen, quod cum lamentatione extremum atque ultimum mortuo
accinitur, nenia dicitur, *παρὰ τὸ νείατον* id est *ἔσχατον* (unde et in
chordis extremus nervus appellatus est *νήτη*); nam et elegia extrema
mortuo accinebatur sicuti nenia, ideoque ab eadem elogium videtur trac-
tum cognominari quod mortuis vel morituris ascribitur novissimum.

I a m b u s est carmen maledicum, plerumque trimetro versu et epodo V
sequente compositum, ut *(Hor. 10, 1. 2).* appellatum est autem *παρὰ
τὸ ἰαμβίζειν* quod est maledicere. cuius carminis praecipui scriptores 2
apud Graecos Archilochus et Hipponax, apud Romanos Lucilius et
Catullus et Horatius et Bibaculus. *ἐπῳδοί* dicuntur versus quolibet 3
metro scripti et sequentes clausulas habentes particularum, quales sunt
epodoe Horatii, in quibus singulis versibus singulae clausulae adiciuntur,
ut *(epod. 15. 16)* et quicumque sunt similes. dicti autem *ἐπῳδοὶ συν-
εκδοχικῶς* a partibus versuum quae legitimis et integris versibus *ἐπᾴ-
δονται* id est accinuntur.

S a t u r a dicitur carmen apud Romanos, nunc quidem maledicum VI
et ad carpenda hominum vitia archaeae comoediae charactere compo-
situm, quale scripserunt Lucilius et Horatius et Persius; set olim carmen
quod ex variis poematibus constabat satura vocabatur, quale scripserunt

---

49 paptin (aptin *A*, paptini *M*) 50 pares 55 tribullus 57 legin *A*: legen *BM* 59 grecia ea eia isto metron 61 elogos 65 ob eodem *B* elegia, *corr. Rabbow* 67 iambum 71 catulus uiuaculus 74 cyneudochicos 75 apadonte 77 satyra *ubique* (satira *A v. 80, B v. 85;* satura *v. 92?*), *sic Diomedes ipse saltem in carminis nomine* 79 quales *AM* et olim

2 Pacuvius et Ennius. satura autem dicta sive a satyris, quod similiter in hoc carmine ridiculae res pudendaeque dicuntur velut quae a satyris proferuntur et fiunt; sive satura a lance, quae referta variis multisque primitiis in sacro | apud priscos dis inferebatur et a [copia] saturitate p. 486
rei satura vocabatur (cuius generis lancium et Vergilius in georgicis meminit, cum hoc modo dicit: *lancibus et pandis fumantia reddimus exta* et *lancesque et liba feremus* [2, 194. 394]); sive a quodam genere farciminis, quod multis rebus refertum saturam dicit Varro vocitatum. est autem hoc positum in II libro Plautinarum quaestionum: *satura est uva passa et polenta et nuclei pinei [ex] mulso consparsi; ad haec alii addunt et de malo punico grana.* alii autem dictam putant a lege satura, quae uno rogatu multa simul comprehendat, quod scilicet et satura carmine multa simul poemata comprehenduntur; cuius saturae legis Lucilius meminit in primo: *per saturam aedilem factum qui legibus solvat* et Sallustius in Iugurtha (c. 29): *deinde quasi per saturam sententiis exquisitis in deditionem accipitur.*

VII Bucolica dicuntur poemata secundum carmen pastorale composita. instituta autem sunt, sicut quidam putant, in Laconica vel, ut alii, in Sicilia; nam inter Lacedaemonios et Siculos diversa fuit condicio.
2 sed quod ad Laconas pertinet, haec eorum fuit origo. quo tempore adventante Xerxe in Graeciam * *, omnes deserta Laconica metu barbarorum perterriti in diversas partes fugisse creduntur et, cum virgines timore laterent, ex hoc evenisse ut eo die quo solitus erat chorus virginum Dianae Caryatidi hymnum canere nemo ad solemne sacrificium inveniretur. tunc itaque pastores ex rure in urbem convenerunt et, ne ritus sacrorum interrumperetur, pastorali carmine composito deae hono-
3 rem celebraverunt. unde est bucolismus dictus. a Siculis autem origo quae trahitur haec est. antequam Hiero rex Syracusas expugnaret, morbo Sicilia laborabat. variis et adsiduis caerimoniis Dianam placantes finem malis invenerunt eamque Lyaeam cognominaverunt quasi solutricem malorum. inde res in consuetudinem tracta est, ut greges rusticorum theatrum ingrederentur et de victoria canerent. habitus autem

82 quae velut 84 copia *BM*, copia ac *A* 90 pini 95 et salustius *M*, *om. B* 97 *locus de bucolicis, ut ultima verba docent, ex scholiorum prolegomenis assumptus. cf. Theocriti schol. p. 1 Z., Probi in Verg. p. 2 K., Servi p. 1 Th.* 98 lacona *AB*, laconia *M* 101 *deficit fere* immane bellum instabat desertam 102 *fuisse videtur* cum ⟨victoribus reversis tamen⟩ virgines 103 ex *M*: et ex *AB* 104 curyatidi 107 buculismus singulis *AM* 108 *Gelonem dicit Probus* 109 placentes *AB* 110 lyaem *expuncta* m *A*, lien *BM*

huius modi videbatur: erat panis magnus omnium ferarum imagine com-
p. 487 pletus et uter cum vino et follis cum omnium leguminum genere; | inerat
et corona in capite et in manu pedum clavatum. atque ita victorum
omnium fores multitudo circumibat, carmen in victoriam quam adepti
fuerant canebant et de eo folle limina frugibus spargebant. nonnulli 4
et in Italiam et in Lydiam et in Aegyptum transisse creduntur, quos
lydiastas et bucolistas appellaverunt. quamquam est et alia opinio, cir- 5
cum pagos et oppida solitos fuisse pastores composito cantu precari pe-
corum ac frugum hominumque proventum, atque inde in hunc diem
manere nomen et ritum bucolicorum. putant autem quidam hoc genus 6
carminis primum Dafnin composuisse, deinde alios complures, inter quos
Theocritum Syracusanum, quem noster imitatur.

Tragoedia est heroicae fortunae in adversis comprehensio. a Theo- VIII
frasto ita definita est: *τραγῳδία ἐστὶν ἡρωικῆς τύχης περίστασις.*
tragoedia, ut quidam, a *τράγῳ* et *ᾠδῇ* dicta est, quoniam olim actori- 2
bus tragicis *τράγος*, id est hircus, praemium cantus proponebatur, qui
Liberalibus die festo Libero patri ob hoc ipsum immolabatur, quia, ut
Varro ait, depascunt vitem; et Horatius in arte poetica *(v. 220. 221)* et
Vergilius in georgicon II, cum et sacri genus monstrat et causam talis
hostiae reddit his versibus *(380. 381)*. alii autem putant a faece, quam
Graecorum quidam *τρύγα* appellant, tragoediam nominatam, per muta-
tionem litterarum *υ* in *α* versa, quoniam olim, nondum personis a Thes-
pide repertis, tales fabulas peruncti ora faecibus agitabant, ut rursum
est Horatius testis sic *(275—277)*. alii ⟨a⟩ vino arbitrantur, propterea
⟨quod⟩ olim *τρύξ* dictitabatur, a quo *τρύγητος* hodieque vindemia est,
p. 488 quia Liberalibus apud Atticos, die festo | Liberi patris, vinum cantoribus
pro corollario dabatur, cuius rei testis est Lucilius in XII.

Comoedia est privatae civilisque fortunae sine periculo [vitae] com- IX
prehensio, apud Graecos ita definita: *κωμῳδία ἐστὶν ἰδιωτικῶν πραγ-
μάτων ἀκίνδυνος περιοχή.* comoedia dicta *ἀπὸ τῶν κωμῶν* (*κῶμαι* 2
enim appellantur pagi, id est conventicula rusticorum): itaque iuventus

---

115 *prius* et: ea *M*, eo *AB* 119 circa *BM* 120 pados 122 bucolicarum 123 dafin *BM* 125 tragydia *A*, tragidia *BM*, *item v. 127* a *A*: u *BM* 126 est herotices (er. *AM*) 127 auctoribus 129 ipsud 130 *Varronis rer. rust. I 2, 19 admonet Rabbow* 132 afece *M*: affece *B*, affecte *A* 134 versam thesipide 135 rursu *A*, rursus *B* 136 arbitrabantur 137 dictitabantur *AB*, dictabantur *M* trygetis *B*, trigetis *M*, trygoetis *A* 139 corellario (-os *A*) *AM*, colellario *B* gestis *AM* 140 vitae *post* privatae *posuit Iahn; cf. de com. c. V 1 (infra*
[illegible]

Attica, ut ait Varro, circum vicos ire solita fuerat et quaestus sui causa
hoc genus carminis pronuntiabat; aut certe a ludis vicinalibus: nam
posteaquam ex agris Athenas commigratum est et hi ludi instituti sunt,
sicut Romae compitalicii, ad canendum prodibant et ab urbana κώμῃ
καὶ ᾠδῇ comoedia dicta est; vel quod in ea viculorum id est humilium
domuum fortunae comprehendantur, non ut in tragoedia publicarum regia-
rumque; vel ἀπὸ τοῦ κώμου, id est comisatione, quia olim in eiusmodi
3 fabulis amantium iuvenum κῶμοι canebantur. comoedia a tragoedia
differt, quod in tragoedia introducuntur heroes duces reges, in comoedia
humiles atque privatae ⟨personae⟩, in illa luctus exilia caedes, in hac
amores, virginum raptus; deinde quod in illa frequenter et paene semper
laetis rebus exitus tristes † et liberorum fortunarumque priorum in peius
adgnitio †. quare varia definitione discretae [sunt] altera [enim] ἀκίνδυ-
νος περιοχή, altera τύχης περίστασις dictae sunt. tristitia namque
tragoediae proprium; ideoque Euripides petente Archelao rege, ut de se
tragoediam scriberet, abnuit ac precatus est ne accideret Archelao ali-
quid tragoedice, ostendens nihil aliud esse tragoediam quam miseriarum
4 comprehensionem. poetae primi comici fuerunt Susarion, Mullus et
Magnes. hi veteris disciplinae iocularia quaedam minus scite ac venuste
pronuntiabant, in quibus hi versus fuerunt: Σουσαρίων ταυτὶ λέγει· |
κακὸν γυναῖκες· ἀλλ᾽ ὅμως, ὦ δημόται, οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ p. 489
κακοῦ. secunda aetate fuerunt Aristophanes, Eupolis et Cratinus, qui
et principum vitia sectati acerbissimas comoedias composuerunt. tertia
aetas fuit Menandri, Diphili et Philemonis, qui omnem acerbitatem co-
moediae mitigaverunt atque argumenta multiplicia gratis erroribus secuti
5 sunt. ab his Romani fabulas transtulerunt, et constat apud illos
6 primum latino sermone comoediam Livium Andronicum scripsisse. sunt
qui velint Epicharmum in Co insula exulantem primum hoc carmen fre-

---

144 fuerit *AM* 146 ladi *AM* 147 compitalici 147. 48 comice (-ae *M*) odae 148 uel quod in ea *B*: uela enea *AM* 150 comin *M* comisationem *A*, comesationem *B*, commirationem *M* qui *AM* 151 comae *B* 153 *cf. c. X 4* 155 iberorum *AB*, hiberorum *M* prior *talia fuerunt:* tristes fortunarumque priorum in peius ⟨commutatio succedunt, in hac tristibus rebus exitus laeti velut nuptiae⟩ et liberorum adgnitio 156 uariat *A*, uareat *BM* difinitione 157 dicta est ς 158 ideo quod 159 scriberit abnuet *AM* accederet 160 tragoediae ostendens, *cf. Vsener (supra ad v. 27) p. 620 sq.* 162 iocula-tria *AB*, ioculae.utra *M*, ioculatoria ς 163 pronuntiabat *AM* tauta 164 gynecec (-cet *M*, -cae *B*) allumoso (alu- *M*) odemote ucesti 165 cratinus ς: oratius 166 aceruissimas 167 difhili *B*, phili *M*, fili *A* aceruitatem 168 graecis 170 primo liboeum 171 in cum insulae *M*, in choum insule *B*

quentasse et sic a Coo comoediam dici. antea itaque galearibus, non 7
personis utebantur, ut qualitas coloris indicium faceret aetatis, cum essent
aut albi aut nigri aut rufi. personis vero uti primus coepit Roscius
Gallus, praecipuus histrio, quod oculis perversis erat nec satis decorus
[in personis] nisi parasitus pronuntiabat.

Initio t o g a t a e comoediae dicebantur, quod omnia in publico honore X
confusa cernebantur; quae togatae postea in praetextatas et tabernarias
dividebantur. togatae fabulae dicuntur quae scriptae sunt secundum 2
ritus et habitum hominum togatorum, id est Romanorum (toga namque
Romana est), sicut graecas fabulas ab habitu aeque palliatas Varro ait
nominari. togatas autem, cum sit generale nomen, specialiter tamen pro
tabernariis non modo communis error usurpat, qui Afrani togatas appellat,
sed et poetae, ut Horatius qui ait *vel qui praetextas vel qui docuere
togatas (a. p. 288).* togatarum fabularum species tot fere sunt quot 3
et palliatarum. nam prima species est togatarum quae praetextatae di-
cuntur, in quibus imperatorum negotia agebantur et publica et reges Ro-
mani vel duces inducuntur, personarum dignitate et [personarum] subli-
mitate tragoediis similes. praetextatae autem dicuntur, quia fere regum
vel magistratuum, qui praetexta utuntur, in eiusmodi fabulis acta com-
prehenduntur. secunda species ⟨est⟩ togatarum quae tabernariae dicuntur 4
et humilitate personarum et argumentorum similitudine comoediis pares,
in quibus non magistratus regesve sed humiles homines et privatae
domus inducuntur, quae quidem olim, quod tabulis tegerentur, commu-
490 niter tabernae vocabantur. tertia species est | fabularum latinarum 5
quae a civitate Oscorum Atella, in qua primum coeptae, appellatae sunt
Atellanae, argumentis dictisque iocularibus similes satyricis fabulis graecis.
quarta species est planipedis, qui graece dicitur mimus. ideo autem la- 6
tine planipes dictus, quod actores pedibus planis, id est nudis, proscenium
introirent, non ut tragici actores cum coturnis neque ut comici cum
soccis; sive quod olim non in suggestu scaenae sed in plano orchestrae

---

172 choo *B* galeribus, *cf. Charis. 80, 10* 174 ruffi 175 euersis, *cf. Keil (Cic. de nat. deor. 1, 79)* 176 sine personis *Langius* nisi *om. M* 177 comoediae *non apte, transitus causa* quod omnia *sq.: haec cum Suetonianis c. XIV 5 componenda esse monet Rabbow togata et hic bifariam dividitur et in sequentibus, nam nec Atellanam togatam dicit nec planipedem. item Festus 352 (aliter Vsener 614—620). cf. ad v. 185* 178 pretextas *M* 180. 81 id est — est *om. M* 183 quia fauni togatas (togas *BM*) appellant 185 *turbavit compilator, qui debuit* latinarum — quot et graecarum. *cf. I 4* 186 pallatarum *AM*, pellatarum *B* 188 et argumentorum *Buschius* 189 praetextae *AB*, praetexta *M* 194 inducuntur (indicuntur *B*, indicantur *M*) quaedam olim 195 tabernariae

positis instrumentis mimicis actitabant. cuius planipedis Atta togatarum
scriptor ita in Aedilicia fabula meminit: ***daturin estis aurum? exultat***
planipes. **siquas tamen ex soccis fabulas fecerant, palliati pronuntiabant.**
7 **togata praetextata a tragoedia differt, quod in tragoedia heroes indu-**
4. Suidas *Ἐπίχαρμος — ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ς' διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλλος* (*Μῦλος* codd) *ἐπεδείκνυντο.* e quibus Euetes tragicus potius videtur, si quidem in titulo CIA II 977 *a* quod legitur . . ΕΤΗΣ Ι suppleri non potest nisi *Εὐέτης α'*. positus autem hic in victorum tabula inter Aeschylum et Polyphrasmonem. Euxenidae vel nomen ignotum. Myllus vero a Diomede (supra p. 58) cum Susarione et Magnete inter primos poetas comicos refertur, sed ipse potius ridendi fuit causa quam risus auctor. Hesych. *Δύλιος ἢ Μύλλος· οὗτος ἐπὶ μωρίαι ἐκωμῳδεῖτο.* hinc interpolata glossa Photii *Δύλλος· ποιητὴς ἐπὶ μωρίαι κωμῳδούμενος.* Zenob. vulg. V 14 *Μύλλος πάντ' ἀκούων· αὕτη τέτακται ἐπὶ τῶν κωφότητα προσποιουμένων καὶ πάντα ἀκουόντων. μέμνηται αὐτῆς Κρατῖνος ἐν Κλεοβουλίναις. ἐστὶ δὲ καὶ κωμῳδιῶν ποιητὴς ο Μύλλος.* e Cratini versiculi mala interpretatione Myllus poeta natus videtur. nomen vero non a *μύλλειν* verbo obscaeno ductum (Wilamowitz Hermae IX 337), sed *μυλλός* i. q. *κυλλός* vel *στρεβλός*; *διεστραμμένος τὴν ὄψιν,* alio oculis alio mente conversus.

XVI. VARIA DE COMOEDIA TESTIMONIA.

1. Aristot. Poet. c. 4 p. 1448b 34 *ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν (μόνος γὰρ οὐχ ὅτι εὖ ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν), οὕτως καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δραματοποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας. παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν οἳ μὲν ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοὶ ἐγένοντο, οἳ δὲ ἀντὶ τῶν ἐπῶν τραγῳδοδιδάσκαλοι διὰ τὸ μείζονα καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων. τὸ μὲν οὖν ἐπισκοπεῖν ἄρ' ἔχει ἤδη ἡ τραγῳδία τοῖς εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε*

καθ' αὑτὸ κρῖναι καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος. γενομένης οὖν ἀπ' ἀρχῆς αὐτοσχεδιαστικῆς, καὶ αὐτὴ καὶ ἡ κωμῳδία καὶ ἡ μὲν ἀπὸ τῶν ἐξαρχόντων τὸν διθύραμβον, ἡ δὲ ἀπὸ τῶν τὰ φαλλικά, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένει νομιζόμενα, κατὰ μικρὸν ηὐξήθη προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς, καὶ πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο, ἐπεὶ ἔσχε τὴν αὑτῆς φύσιν. tum postquam de tragoediae incrementis dixit, pergit c. 5 p. 1449a 30: *ἡ δὲ κωμῳδία ἐστὶν ὥσπερ εἴπομεν μίμησις φαυλοτέρων μὲν οὐ μέντοι κατὰ πᾶσαν κακίαν, ἀλλὰ τοῦ αἰσχροῦ ἐστι τὸ γελοῖον μόριον· τὸ γὰρ γελοῖόν ἐστιν ἁμάρτημά τι καὶ αἶσχος ἀνώδυνον καὶ οὐ φθαρτικόν, οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης. αἱ μὲν οὖν τῆς τραγῳδίας μεταβάσεις καὶ δι' ὧν ἐγένοντο οὐ λελήθασιν, ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν· καὶ γὰρ χορὸν κωμῳδῶν ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν, ἀλλ' ἐθελονταὶ ἦσαν. ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης οἱ λεγόμενοι αὐτῆς ποιηταὶ μνημονεύονται. τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα ἠγνόηται· τὸ δὲ μύθους ποιεῖν Ἐπίχαρμος καὶ Φόρμις· τὸ μὲν ἐξ ἀρχῆς ἐκ Σικελίας ἦλθε, τῶν δὲ Ἀθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους.*

de comoedia antiquissima vasis potissimum adhibitis plura sciri possunt, cf. Poppelreuter De com. Att. primordiis Berol. 1893. AKoerte Iahrb. des arch. Inst. VIII (1893) p. 61. Bethe Prolegom. p. 48.

2. Poll. IV 109 *ὁ δὲ κωμικὸς χορὸς τέτταρας καὶ εἴκοσιν ἦσαν οἱ χορευταί, ζυγὰ ἕξ, ἕκαστον δὲ ζυγὸν ἐκ τεττάρων, στοῖχοι δὲ τέτταρες, ἓξ ἄνδρας ἔχων ἕκαστος στοῖχος.* cf. schol. Ar. Av. 297. Ran. 354. de choro bipertito schol. Ar. Eq. 589.

idem ibid. 111 *τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγῃ. ἐπιεικῶς δ' αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὔκ ἐστιν.* de parabasi v. supra p. 4. 22 cum adnot. Hephaest. p. 135, 5. 139, 13.

idem ib. 118 de actorum habitu. 143—154 de personis.

---

3. [Xen.] Rep. Athen. II 18 *κωμῳδεῖν δ' αὖ καὶ κακῶς λέγειν τὸν μὲν δῆμον οὐκ ἐῶσιν, ἵνα μὴ αὐτοὶ ἀκούωσι κακῶς, ἰδίαι δὲ ⟨καὶ⟩ κελεύουσιν εἴ τίς τινα βούλεται, εὖ εἰδότες ὅτι οὐχὶ τοῦ δήμου ἔσται*

κῶν κωμῳδοῦνται καὶ οὐδ' οὗτοι ἐὰν μὴ διὰ πολυπραγμοσύνην καὶ διὰ τὸ ζητεῖν πλέον τι ἔχειν τοῦ δήμου· ὥστε οὐδὲ τοὺς τοιούτους ἄχθονται κωμῳδουμένους. cf. Platonius I 2 (supra p. 3).

4. Cicero apud August. de civ. d. II 9 (Cic. Rep. IV 11): *nunquam comoediae, nisi consuetudo vitae pateretur, probare sua theatris flagitia potuissent. et Graeci quidem antiquiores vitiosae suae opinionis quandam convenientiam servaverunt, apud quos fuit etiam lege concessum, ut quod vellet comoedia de quo vellet nominatim diceret . . . . quem illa non attigit vel potius quem non vexavit? cui pepercit? esto, populares homines improbos, in re publica seditiosos, Cleonem Cleophontem Hyperbolum laesit . . . sed Periclem, cum iam suae civitati maxima auctoritate plurimos annos domi et belli praefuisset, violari versibus et exagitari in scaena non decuit.*

5. Horatius AP 281 postquam de Thespide et Aeschylo dixit:

successit vetus his comoedia non sine multa
laude: sed in vitium libertas excidit et vim
dignam lege regi. lex est accepta chorusque
turpiter obticuit sublato iure nocendi.

6. Schol. Ar. Ach. 67 ἐπ' Εὐθυμένους ἄρχοντος (a. 437/6). οὗτος ὁ ἄρχων ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ ⟨ὀνομαστὶ⟩ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου (a. 440/39). ἴσχυσε δὲ ἐκεῖνόν τε τὸν ἐνιαυτὸν καὶ δύο τοὺς ἑξῆς ἐπὶ Γλαυκίνου τε (a. 439/8) καὶ Θεοδώρου (a. 438/7), μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη. cf. schol. Nub. 31. Ran. 501. Vesp. 1291.

7. Arist. Ach. 1150 Ἀντίμαχον τὸν Ψακάδος τὸν ξυγγραφῆ τὸν μελέων ποιητὴν ὡς μὲν ἁπλῶι λόγωι κακῶς ἐξολέσειεν ὁ Ζεύς· ὅς γ' ἐμὲ τὸν τλήμονα Λήναια χορηγῶν ἀπέλυσ' ἄδειπνον. ubi scholia: ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτωι πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν καιρόν (χορόν Suidas), καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. ἐχορήγει δὲ ὁ Ἀντίμαχος τότε ὅτε εἰσήνεγκε τὸ ψήφισμα. legis Antimacheae memoria ex falsa poetae interpretatione nata.

8. Schol. Ar. Av. 1297 Συρακοσίωι· οὗτος γὰρ τῶν περὶ τὸ βῆμα . . . δοκεῖ δὲ καὶ ψήφισμα τεθεικέναι μὴ κωμῳδεῖσθαι ὀνομαστί τινα, ὡς Φρύνιχος ἐν Μονοτρόπωι φησί 'ψῶρ' ἔχε Συρακόσιον, ἐπιφανὴς γὰρ αὐτῶι καὶ μέγα τύχοι· ἀφείλετο γὰρ κωμῳδεῖν οὓς ἐπεθύμουν' (in quibus nihil certum nisi hoc, anapaestos fuisse fortasse e parabasi petitos). de Syracosii rogatione omnia pendent e Phrynichi versibus recte interpretandis; nos quid poeta dixerit ignoramus.

9. Quintil. X 1, 65 *antiqua comoedia cum sinceram illam sermonis attici gratiam prope sola retinet tum facundissimae libertatis est, in insectandis vitiis praecipua, plurimum tamen virium etiam in ceteris partibus habet. nam et grandis et elegans et venusta, et nescio an nulla, post Homerum tamen, quem ut Achillem semper excipi par est, aut similior sit oratoribus aut ad oratores faciendos aptior. plures eius auctores, Aristophanes tamen et Eupolis Cratinusque praecipui.* Dionys. de imit. p. 22 Usener: *τῶν δὲ κωμωιδῶν μιμητέον τὰς λεκτικὰς ἀρετὰς ἁπάσας· εἰσὶ γὰρ καὶ τοῖς ὀνόμασι καθαροὶ καὶ σαφεῖς καὶ βραχεῖς καὶ μεγαλοπρεπεῖς καὶ δεινοὶ καὶ ἠθικοί* (cf. Quintil. XI 3, 74), *Μενάνδρου δὲ καὶ τὸ πραγματικὸν θεωρητέον.* cf. Plinius ep. VI 21 de Vergilio Romano, simili auctore usus ac Dionysius et Quintilianus: *nunc primum se in vetere comoedia, sed non tamquam inciperet, ostendit. non illi vis non granditas non subtilitas non amaritudo non dulcedo non lepos defuit; ornavit virtutes, insectatus est vitia, fictis nominibus decenter, veris usus est apte.*

10. Horatius sat. I 4, 1

Eupolis atque Cratinus Aristophanesque poetae
atque alii quorum comoedia prisca virorumst,
siquis erat dignus describi, quod malus ac fur,
quod moechus foret aut sicarius aut alioqui
famosus, multa cum libertate notabant.

cf. [Dionys.] Art. rhet. p. 57, 19 Us. *ἡ δέ γε κωμωιδία ὅτι πολιτεύεται ἐν τοῖς δράμασι καὶ φιλοσοφεῖ, ἡ τῶν περὶ Κρατῖνον καὶ Ἀριστοφάνην καὶ Εὔπολιν, τί δεῖ καὶ λέγειν;* Velleius I 16, 3 *una* (*aetas inlustravit*) *priscam illam et veterem sub Cratino Aristophane et Eupolide comoediam.*

10. Horat. sat. II 3, 11

quorsum pertinuit stipare Platona Menandro,
Eupolin Archilochum, comites educere tantos?

11. Plut. Quaest. conv. VII p. 711f *τῶν δὲ κωμωιδιῶν ἡ μὲν ἀρχαία διὰ τὴν ἀνωμαλίαν ἀνάρμοστος ἀνθρώποις πίνουσιν. ἥ τε γὰρ ἐν ταῖς λεγομέναις παραβάσεσιν αὐτῶν σπουδὴ καὶ παρρησία λίαν ἄκρατός ἐστι καὶ σύντονος, ἥ τε πρὸς τὰ σκώμματα καὶ βωμολοχίας εὐχέρεια δεινῶς κατάκορος καὶ ἀναπεπταμένη καὶ γέμουσα ῥημάτων ἀκόσμων καὶ ἀκολάστων ὀνομάτων· ἔτι δ᾽ ὥσπερ ἐν τοῖς ἡγεμονικοῖς*

παρ᾽ Εὐπόλιδι καὶ ὁ Κινησίας παρὰ Πλάτωνι καὶ ὁ Λάμπων παρὰ Κρατίνωι καὶ τῶν κωμωιδουμένων ἕκαστος· ὥστε γραμματοδιδασκαλεῖον ἡμῖν γίνεσθαι τὸ συμπόσιον ἢ κωφὰ καὶ ἄσημα τὰ σκώμματα διαφέρεσθαι. sequitur Menandri laus, cf. Plut. Comp. Aristoph. et Menandri, quam Aristophanis reliquiis praepositam invenies.

12. Dio Prus. or. Tars. 1, 9 (I 299 Arnim) *Ἀθηναῖοι γὰρ εἰωθότες ἀκούειν κακῶς καὶ νὴ Δία ἐπ᾽ αὐτὸ τοῦτο συνιόντες εἰς τὸ θέατρον ὡς λοιδορηθησόμενοι καὶ προτεθεικότες ἀγῶνα καὶ νίκην τοῖς ἄμεινον αὐτὸ πράττουσιν, οὐκ αὐτοὶ τοῦτο εὑρόντες ἀλλὰ τοῦ θεοῦ συμβουλεύσαντος, Ἀριστοφάνους μὲν ἤκουον καὶ Κρατίνου καὶ Πλάτωνος, καὶ τούτους οὐδὲν κακὸν ἐποίησαν. ἐπεὶ δὲ Σωκράτης ἄνευ σκηνῆς καὶ ἰκρίων ἐποίει τὸ τοῦ θεοῦ πρόσταγμα, οὐ κορδακίζων οὐδὲ τερετίζων, οὐχ ὑπέμειναν. ἐκεῖνοι μὲν γὰρ ὑφορώμενοι καὶ δεδιότες τὸν δῆμον ὡς δεσπότην ἐθώπευον, ἠρέμα δάκνοντες καὶ μετὰ γέλωτος, ὥσπερ αἱ τιτθαὶ τοῖς παιδίοις, ὅταν δέηι τι τῶν ἀηδεστέρων πιεῖν αὐτά, προσφέρουσι μέλιτι χρίσασαι τὴν κύλικα. τοιγαροῦν ἔβλαπτον οὐχ ἧττον ἤπερ ὠφέλουν, ἀγερωχίας καὶ σκωμμάτων καὶ βωμολοχίας ἀναπιμπλάντες τὴν πόλιν. ὁ δὲ φιλόσοφος ἤλεγχε καὶ ἐνουθέτει.*

13. Hermog. *Περὶ μεθόδου δεινότητος* c. 34 *Περὶ τοῦ κωμικῶς λέγειν. Τοῦ κωμικῶς λέγειν ἅμα καὶ σκώπτειν ἀρχαίως τρεῖς μέθοδοι· τὸ κατὰ παρωιδίαν σχῆμα, τὸ παρὰ προσδοκίαν, τὸ ἐναντίας ποιεῖσθαι τὰς εἰκόνας τῆι φύσει τῶν πραγμάτων. τούτων παραδείγματα λάβωμεν τὰ μὲν ἐκ τοῦ κωμικοῦ, τὰ δὲ ἐκ τοῦ βίου, τὰ δὲ ἐκ τοῦ ῥήτορος.* adfertur deinceps primi generis exemplum Arist. Vesp. 45, alterius comici incerti fr. ad. 187 Mein. de tertio genere sic pergit: *τὸ δὲ ἐναντίως χρῆσθαι ταῖς εἰκόσι πρὸς τὰ μεγέθη τῶν πραγμάτων οὕτω γίνεται, ἐὰν μεγάλωι μικρὸν ἀντιτιθῶμεν καὶ μικρῶι μέγα, οἷον ‘ἐμαχέσαντο οἱ ὄρτυγες ὡς Αἴας καὶ Ἕκτωρ’ καὶ ‘Ἕκτωρ καὶ Ἀχιλλεὺς ἐμαχέσαντο ὡς ἀλεκτρυόνες’*, quod exemplum non ex scriptore sed e vitae usu fictum est. tum omnium trium generum exempla secuntur Demosthenica.

14. idem ibid. c. 36 *δημηγορία διάλογος κωμωιδία τραγωιδία συμπόσια Σωκρατικὰ διά τινος διπλῆς μεθόδου πάντα πλέκεται... κωμωιδίας δὲ πλοκὴ πικρὰ καὶ γελοῖα, τῶν μὲν πικρῶν σωφρονιζόντων, τῶν δὲ γελοίων παραμυθουμένων κτλ.*

15. Strabo I p. 18 Hipparcho vel Posidonio duce contra Eratosthenem disputans de Homero omnium litterarum artiumque auctore principe: *ὡς*

δ' εἰπεῖν, ὁ πεζὸς λόγος ὅ γε κατεσκευασμένος μίμημα τοῦ ποιητικοῦ ἐστιν. πρώτιστα γὰρ ἡ ποιητικὴ κατασκευὴ παρῆλθεν εἰς τὸ μέσον καὶ εὐδοκίμησεν· εἶτα ἐκείνην μιμούμενοι λύσαντες τὸ μέτρον, τἆλλα δὲ φυλάξαντες τὰ ποιητικὰ συνέγραψαν οἱ περὶ Κάδμον καὶ Φερεκύδη καὶ Ἑκαταῖον. εἶτα οἱ ὕστερον ἀφαιροῦντες ἀεί τι τῶν τοιούτων εἰς τὸ νῦν εἶδος κατήγαγον ὡς ἂν ἀφ' ὕψους τινός· καθάπερ ἄν τις καὶ τὴν κωμῳδίαν φαίη λαβεῖν τὴν σύστασιν ἀπὸ τῆς τραγῳδίας καὶ τοῦ κατ' αὐτὴν ὕψους καταβιβασθεῖσαν εἰς τὸ λογοειδὲς νυνὶ καλούμενον κτλ.

COMOEDIA DORICA.

MIMI . PHLYACES

I COMOEDIA DORICA

1. *ARISTOXENVS

TESTIMONIA

1 Hephaestio p. 49 *Ἀριστόξενος δὲ ὁ Σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητής, οὗ καὶ αὐτὸς Ἐπίχαρμος μνημονεύει ἐν Λόγωι καὶ Λογίναι ‘οἱ τοὺς ἰάμβους καὶ τὸν ἄριστον τρόπον, ὃν πρᾶτος εἰσηγήσαθ᾽ ὡριστόξενος’.*

2 Eusebius (Sync. 401, 18) II 86 Sch. ad ol. 28 *Ἀρχίλοχος καὶ Σιμωνίδης καὶ Ἀριστόξενος οἱ μουσικοὶ* (*Aristoxenus musicus* recte Hieron.) *ἐγνωρίζοντο.* cf. Bergk Hist. litt. IV 3.

Aristoxenum comicum poetam fuisse nemo tradidit, iambos et tetrametros fecisse probabile est. Hephaestionis doctrina videtur ex Apollodori ad Epicharmi verba commentario fluxisse, qui de patria poetae incertum est utrum Epicharmo an alio auctore usus sit. apud Eusebium non aetate sed simili carminum genere aequales poetae compositi sunt. comicis Aristoxenum adscripsit qui versum tetrametrum anapaesticum ei adfinxit.

VERSVS SPVRIVS

Hephaest. p. 49, 6 *καὶ τούτου τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτωι τῶι μέτρωι γεγραμμένα*

τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; τοὶ μάντεις.

2. EPICHARMVS

Testimonia

1 Suidas *Ἐπίχαρμος Τιτύρου ἢ Χιμάρου καὶ Σηκίδος* (*σικίδος* cod. v. ad fr. 125), *Συρακούσιος ἢ ἐκ πόλεως Κραστοῦ τῶν Σικανῶν. ὃς εὗρε τὴν κωμωιδίαν ἐν Συρακούσαις ἅμα Φόρμωι. ἐδίδαξε δὲ δράματα νβʹ, ὡς δὲ Λύκων* (Lyconem Iasensem intellegit Wilamowitz Pythagoreum, cf. Athen. X 418 f; *δ' Ἑλικώνιος* Rohde, fort. *δὲ Λυκόφρων*) *φησί, λεʹ. τινὲς δὲ αὐτὸν Κῶιον ἀνέγραψαν τῶν μετὰ Κάδμου εἰς Σικελίαν μετοικησάντων, ἄλλοι Σάμιον, ἄλλοι Μεγαρέα* (*μεγάρων* codd) *τῶν ἐν Σικελίαι. ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ϛʹ διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλλος ἐπεδείκνυντο.* Steph. B. p. 382, 13 *Κραστός, πόλις Σικελίας τῶν Σικανῶν .. ἐκ ταύτης ἦν Ἐπίχαρμος ὁ κωμικὸς καὶ Λαὶς ἡ ἑταίρα, ὡς Νεάνθης ἐν τῶι Περὶ ἐνδόξων ἀνδρῶν.* Diomedes c. 9, 6 (supra p. 58) *sunt qui velint Epicharmum in Co insula exulantem primum hoc carmen frequentasse et sic a Coo comoediam dici.*

2 Aristot. Poet. 5 p. 1449 b 5 *τὸ δὲ μύθους ποιεῖν* (*ἀπέδωκεν*) *Ἐπίχαρμος καὶ Φόρμις· τὸ μὲν ἐξ ἀρχῆς ἐκ Σικελίας ἦλθε.* ibid. 3 p. 1448 a 30 *διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγωιδίας καὶ τῆς κωμωιδίας οἱ Δωριεῖς· τῆς μὲν γὰρ κωμωιδίας οἱ Μεγαρεῖς οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης καὶ οἱ ἐκ Σικελίας· ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής, πολλῶι πρότερος ὢν Χιωνίδου καὶ Μάγνητος.*

3[1]) Diog. Laert. VIII 3 *Ἐπίχαρμος Ἡλοθαλοῦς Κῶιος. καὶ οὗτος ἤκουσε Πυθαγόρου. τριμηνιαῖος δ' ὑπάρχων ἀπηνέχθη τῆς Σικελίας εἰς Μέγαρα, ἐντεῦθεν δ' εἰς Συρακούσας, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς συγγράμμασιν. καὶ αὐτῶι ἐπὶ τοῦ ἀνδριάντος ἐπιγέγραπται τόδε*

εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων
καὶ πόντος ποταμῶν μεῖζον' ἔχει δύναμιν,
φαμὶ τοσοῦτον ἐγὼ σοφίαι προέχειν Ἐπίχαρμον,
ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρακοσίων.

οὗτος ὑπομνήματα καταλέλοιπεν ἐν οἷς φυσιολογεῖ γνωμολογεῖ ἰατρολογεῖ. καὶ παραστιχίδια ἐν τοῖς πλείστοις τῶν ὑπομνημάτων πεποίηκεν, οἷς διασαφεῖ ὅτι ἑαυτοῦ ἐστι τὰ συγγράμματα. βιοὺς δ' ἔτη ἐνενήκοντα κατέστρεψεν. cf. [Lucian.] Macrob. 25 *καὶ Ἐπίχ. δὲ ὁ τῆς κωμωιδίας ποιητὴς καὶ αὐτὸς ἐνενήκοντα καὶ ἑπτὰ ἔτη λέγεται βιῶναι.*

4 Plut. Num. 8 *Ἐ. ὁ κωμικὸς .. παλαιὸς ἀνὴρ καὶ τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς.* cf. Iambl. vit. Pyth. 266. de Pythagoreorum studiis litterariis idem Iambl. 166: *οἵ τε γνωμολογῆσαί τι τῶν κατὰ τὸν βίον βουλόμενοι τὰς Ἐπιχάρμου διανοίας προφέρονται καὶ σχεδὸν πάντες οἱ φιλόσοφοι κατέχουσιν.*

5 Columell. I 1 *Siculi quoque non mediocri cura negotium istud* (i. e. *rem rusticam*) *prosecuti sunt Hieron et Epicharmus.* sic Statius silv. V 3, 155 a patre se didicisse profitetur *quantum pios ditarit agrestes Ascraeus Siculusque senex.*

6 Iambl. vit. Pyth. 241 *Μητρόδωρός τε ὁ Θύρσου τοῦ πατρὸς Ἐπιχάρμου*

---

[1]) testimonia quae secuntur tertium quartum quintum sextum ad Pseudepicharmeorum librorum auctores pertinent, de quibus p. 133 accuratius agendum erit.

καὶ τῆς ἐκείνου διδασκαλίας τὰ πλείονα πρὸς τὴν ἰατρικὴν μετενέγκας, ἐξηγούμενος τοὺς τοῦ πατρὸς λόγους πρὸς τὸν ἀδελφόν φησι τὸν Ἐπίχαρμον καὶ πρὸ τούτου τὸν Πυθαγόραν τῶν διαλέκτων ἀρίστην λαμβάνειν τὴν Δωρίδα. cum haec tum alia quae de singularum dialectorum harmoniarumque discriminibus et praestantiis Metrodorus (Aristoxenum secutus cf. Rohde Mus. Rhen. 27, 48) disseruisse fertur, aetati recentiori videntur aptiora esse. ceterum verba haud integra: certe non frater sed aut filius aut nepos Epicharmi dici videtur Metrodorus medicus, qui poetae subditicios libros compilavit. recte fortasse Wilamowitzius *ὁ Θύρσου τοῦ [πατρὸς] Ἐπιχάρμου ἐκ τῆς κτλ.*

7 Plato Theaet. p. 152 de *ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, ἀεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου συμφερέσθων, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος.*

8 Marm. Par. v. 71 *ἀφ' οὗ Ἱέρων Συρακουσῶν ἐτυράννευσεν, ἔτη* ΗΗΓΙΙΙ, *ἄρχοντος Ἀθήνησι Χάρητος* (a. 472/1). *ἦν δὲ καὶ Ἐπίχαρμος κατὰ τοῦτον.* Clemens Al. Strom. I p. 353 P *Ξενοφάνης ὁ Κολοφώνιος . . ὅν φησι Τίμαιος κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι.* cf. fr. 99. vide Test. 1 et 9.

9 Anonymus de com. 4 (supra p. 7) *Ἐπίχαρμος Συρακόσιος· οὗτος πρῶτος τὴν κωμῳδίαν διερριμμένην ἀνεκτήσατο πολλὰ προσφιλοτεχνήσας. χρόνοις δὲ γέγονε κατὰ τὴν ογ' ὀλυμπιάδα. τῆι δὲ ποιήσει γνωμικὸς καὶ εὑρετικὸς καὶ φιλότεχνος. σώιζεται δὲ αὐτοῦ δράματα μ', ὧν ἀντιλέγονται δ'.* fabulas (genuinas) xxxv novit Lycon vel Lycophron (v. Test. 1), totidemque nos, si Atalantas inter spurias reieceris.

10 Alexis apud Athen. IV 164c Linum facit ad Herculem talia dicentem

βιβλίον
ἐντεῦθεν ὅτι βούληι προσελθὼν γὰρ λαβέ,
ἔπειτ' ἀναγνώσηι, πάνυ γε διασκοπῶν
ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε καὶ σχολῆι·
Ὀρφεὺς ἔνεστιν, Ἡσίοδος, τραγῳδίαι,
Χοιρίλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα
παντοδαπά.

6 ⟨*ἔστ'*⟩ *Ἐπίχαρμος, γράμματα π.* GHermann.

11 Theocriti epigr. 17 (Anth. P. IX 600)

ἅ τε φωνὰ Δώριος χὠνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος·
ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν
τοὶ Συρακόσσαις ἐνίδρυνται πελωρίσται πόλει,
οἷ' ἀνδρὶ πολίται
σοφῶν ἔοικε ῥημάτων μεμναμένους
τελεῖν ἐπίχειρα.
πολλὰ γὰρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα·
μεγάλα χάρις αὐτῶι.

5 i. e. *maximae urbi* 7 *σωρὸν γὰρ εἶχε ῥ.* codd. Theocr. *γὰρ* om. cod.

12 varias de Epicharmo historiolas v. apud Plut. apophth. p. 175 c, de adulat. ab amico disting. p. 68 a. Aelian. v. hist. II 34 (v. ad Sophronis fr. 62).

13 Horatius epist. II 1, 55

ambigitur quotiens uter utro sit prior, aufert
Pacuvius docti famam senis, Accius alti,
dicitur Afrani toga convenisse Menandro,
Plautus ad exemplar Siculi properare Epicharmi,
vincere Caecilius gravitate, Terentius arte.

4 cf. Arist. Eccl. 582 ἀλλ᾽ οὐ μέλλειν ἀλλ᾽ ἅπτεσθαι καὶ δὴ χρὴ τῆς ἐπινοίας· ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.

14 Porphyr. vit. Plot. 24 ὃ μὲν (i. e. Ἀπολλόδωρος ὁ Ἀθηναῖος) Ἐπίχαρμον τὸν κωμῳδιογράφον εἰς δέκα τόμους φέρων συνήγαγεν.

15 Suid. Διονύσιος υἱὸς τοῦ Σικελίας τυράννου καὶ αὐτὸς τύραννος καὶ φιλόσοφος· Ἐπιστολάς, καὶ Περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

Apollodorus Epicharmea edidit diligentia ac fide usus vere Alexandrina non qualia ab ipso poeta scripta existimari possunt sed qualia in libris traditis ferebantur. videntur autem haec exempla non nimis antiqua fuisse sed ad recentiorem scribendi usum reformata, velut litterae ϝ vestigia ubi fieri poterat obscurata non sane ad Apollodori arbitrium sed ad librorum fidem referenda videntur. servata sunt talia βδελυχραὶ ἀδέαι (fr. 63), τε ἱέρακες (68), τε οἱ (71), ἄγροθεν ἔοικε (161), quae tolli non facile poterant, sed fr. 53 legitur οὐκ ἴσαντι, non οὐ ϝίσαντι, 100 οὐχ ἑκών, non οὐ ϝεκών, quamquam qui haec tradidit idem Athenaeus recte fr. 37 τὺ δὲ ἑκὼν scriptum reliquit. poeta si ubique littera tum viva usus est, graviter corrupta videntur fr. 21 αἶκ ἔσθοντ᾽ ἴδοις, corruptum etiam fr. 56 λεπταὶ μὲν ἀδεῖαι δέ, item fr. 171 φέρ᾽ ἴδω et si quae alia. abstinui coniecturis, ea restituere contentus quae Apollodorum scripsisse probabile erat. commentarii Apollodorei manifesta vestigia servaverunt Varro de l. l. V 105 et Hesychius s. περιαμβίδες. illius igitur fere omnia sunt quae ad poetae verba explicanda passim veteres protulerunt, in his ea quoque quae in scheda chartacea (fr. 99) supersunt scholia. vere Epicharmea a subditiciis carminibus primus haud dubie distinxit Apollodorus (Athen. XIV 648 d, v. quae Pseudepicharmeis praefatus sum), si quidem Diodorus Aristophaneus de Chironis carminis genuitate nondum dubitavit (Athen. XI 479 a), carmen autem Πολιτεία inscriptum grammaticorum quidem nemo videtur adhibuisse post illum cui Antiatticistae Bekkeri copiae debentur, post Aristophanem Byzantium (Cohn Fleckeis. ann. vol. suppl. XII 292); quamquam hoc quod adstruxit Wilamowitzius incertum est argumentum eo nomine, quod non omnes Antiatticistae glossae ad Aristophanem referri possunt.

Epicharmi reliquias selectas composuit Ahrens de dial. II 435, integram syllogen instituit Lorenz, Leben und Schriften des E. (1864) p. 219.

ΕΠΙΧΑΡΜΟΥ ΔΡΑΜΑΤΑ

ΑΓΡΩΣΤΙΝΟΣ (p. 219 Lor)

de nominis forma v. ad Epicharmi *Λόγος καὶ Λογίνα.*

1 (1 Ahr)

Soranus Et. gen. s. *κολαφίζω* (Et. M. 525, 8) . . *τὸ δὲ ὄνομα Ἑλληνικὸν παρὰ Ἐπιχάρμωι·*

ὡς ταχὺς
Κόλαφος περιπατεῖ δῖνος.

Hesych. *κόλαφος· κόνδυλος. παρὰ δὲ Ἐπιχάρμωι ἐν Ἀγρωστίνωι καὶ παιδοτρίβου* (-*τρίβαις* cod) *ὄνομα.* Pausanias ap. Eust. 1871, 53. Suid. s. *κόνδυλος.*

1 *ταχὺ*: correxi 2 *δεινός*: corr. Meinekius.

2

Athen. XV 682 a *τῶν δὲ χαλχῶν* . . *μνημονεύει* . . *Ἐ. ἐν Ἀγρωστείνωι.* Hesych. s. *κάλχη.*

3

Athen. III 120 c *τὸ σίσαρον καλούμενον, οὗ μνημονεύει Ἐ. ἐν Ἀγρωστίνωι, ἐν Γῆι καὶ Θαλάσσηι* (fr. 27), *καὶ Διοκλῆς ἐν α΄ Ὑγιεινῶν,* inter ea olera quae *τὰς ἐκκρίσεις ποιοῦντα εὐλύτους εὐστόμαχα καθέστηκεν.*

ΑΛΚΥΟΝΕΥΣ (p. 220 Lor)

De Alcyoneo v. CRobert Hermae 19, 473. Corinthiam fabulam Syracusanis familiarem fuisse consentaneum est. addidit Epicharmus, ut videtur, Diomum Alcyoneo armentarium, cf. fr. 4. non recte Dieterich Pulcinella p. 122 adn.

4

Athen. XIV 619 a b *Δίομος δ' ἦν βουκόλος Σικελιώτης, ὁ πρῶτος εὑρὼν τὸ εἶδος* (i. e. *τὸν βουκολιασμόν*). *μνημονεύει δ' αὐτοῦ Ἐ. ἐν Ἀλκυονεῖ* (-*όνι* cod: corr. OIahn).

5 (2 Ahr)

Apollon. de pron. p. 80 b *σύγκρισίν τε καὶ παραγωγὴν ἀνεδέξατο* (pronomen *αὐτός*), *ὡς ἐν Ἀλκυονεῖ* (*αλκυονι* cod) *Ἐπίχαρμος*

ΑΜΥΚΟΣ (p. 220 Lor)

6 (3 Ahr)

Schol. Soph. Ai. 722 *κυδάζεται· καὶ Ἐ. ἐν Ἀμύκωι*

Ἄμυκε, μὴ κύδαζέ μοι
τὸν πρεσβύτερον ἀδελφεόν.

schol. Apoll. Rh. I 1337 *κύδος γὰρ ἀρσενικῶς παρὰ Συρακοσίοις,* cf. Hesych. s. v. Phot. *κύδος· λοιδορία ἀρσενικῶς, καὶ παροιμία ʻκύδον δίκην ὀφείλειν᾽ ⟨ἐπὶ τῶν⟩ συκοφαντησάντων,* quod proverbium non opus ut ad Siculum poetam referamus. receperunt vocabulum tragici Attici.

2 *ἀδελφόν*: corr. Emsley. loquitur Castor frater minor.

7 (4 Ahr)

εἴ γε μὲν ὅτι
ἐγκεκόμβωται καλῶς.

Et. gen. (Et. M. 311, 8) *ἐγκομβώσασθαι . . Ἐπίχαρμος ʻεἴγε . . καλῶς᾽ Ἀμύκωι.* item Phot. epist. 156 (p. 210 ed. Lond). Hesych. *ἐγκεκόμβωται· ἐνείληται.* huc pertinet schol. Ap. Rh. II 98 *Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον, Ἐ. δὲ καὶ Πείσανδρός φασιν ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης.*

1 *εὖ γα μὰν ὅτι* Blomfield, possis *ἴστε μὰν ὅτι* alia plura 2 *κεκόμβωται* Et.

8

Anecd. Bekk. 98, 33 *ἡμιούγκιον· Ἐπίχαρμος Ἀμύκωι.* rectius *ἡμιόγκιον.* Phot. *ὀγκίαν· τὸν σταθμὸν Σώφρων καὶ Ἐπίχαρμος.* v. ad fr. 9. 10.

ΑΡΠΑΓΑΙ (p. 221 Lor)

de argumento incerta coniecit Crusius Philol. vol. suppl. VI 285, qui huc referebat et fr. 231 et proverbii Zenobiani (Ath. II 77. vulg. I 31) *ἁρπαγὰ τὰ Κοννίδα* explicationem e Timaeo petitam.

9. 10 (5. 6 Ahr)

9 *ὥσπερ αἱ πονηραὶ μάντιες,*
αἵ θ᾽ ὑπονέμονται γυναῖκας μωρὰς ἅμ πεντόγκιον
ἀργύριον, ἄλλαι δὲ λίτραν, ταὶ δ᾽ ἀν᾽ ἡμιλίτριον
δεχόμεναι, καὶ πάντα γινώσκοντι τῶι . . . λόγωι.

10 *ἐγὼ γὰρ τό γα βαλάντιον· λίτρα*
καὶ δεκάλιτρος στατήρ, ἑξάντιόν τε πεντόγκιον.

Poll. IX 81. 82 *σὺν δὲ τῆι λίτραι καὶ ἄλλα ὠνόμασε νομισμάτων ὀνόματα Ἐ. ἐν Ἁρπαγαῖς ʻὥσπερ αἱ . . τῶι λόγωι᾽* (9), *καὶ πάλιν ʻἐγὼ . . πεττόγκιον᾽* (10). Hesych. *ἑξᾶς· εἶδος ⟨νομίσματος⟩ παρὰ Συρακουσίοις.*

9, 1 *ὥσπερ αἱ* vulgo, *ὥσπερ εἶπον ἤρ᾽ αἱ μαντεῖαι* cod. Salam. et Falck: corr. Ahrens 2 Hesych. *ὑπονέμεσθαι· ἐξαπατᾶν.* *ἀμπετώκιον* codd: videtur

traditum *πετόγκιον*, cf. fr. 10, 2 3 *αἰ δ'*: corr. Ahrens *ἡμίλιτρον*: corr. Bentleius 4 *τῷ τι λόγῳ* unus cod. P, *τῶι τηνᾶν λόγωι* Bentl.

10, 1 *γε* 1. 2 *λιτροκεδεκάλιτρος*: *λίτρα καὶ δ.* Hemsterhusius 2 *πεττόγκιον*, ad fr. 9, 2. sententia haec fortasse 'ego enim habeo quod quaeris marsupium. insunt enim *λίτρα καὶ δεκάλιτρος ⟨εἷς⟩ στατήρ, ἑξάντιον, πεντόγκιον*'. Corinthium staterem s. didrachmon decem litrarum apud Siceliotas fuisse Aristoteles testatur apud Poll. IV 174.

11 (7 Ahr)

Et. gen. (e Zenobio ad Apollonii Rhematicum, Et. M. 662, 11) *πέποσχε ἀπο τοῦ πάσχω . . ἐν Ἁρπαγαῖς Ἐπιχάρμου*

ἁ δὲ Σικελία πέποσχε.

cf. Phot. s. *πέποσχα*.

12

Poll. IX 26 *ὁ δὲ νέας (πόλεως πολίτης) νεαπολίτης κατὰ Πλάτωνα, καὶ κατ' Ἐπίχαρμον λέγοντα ἐν Ἁρπαγαῖς νέοικον.*

13

Poll. IX 41. 42 *ἐκάλουν δὲ τὸ διδασκαλεῖον καὶ χορόν, ὁπότε καὶ τὸν διδάσκαλον χορηγόν, καὶ τὸ διδάσκειν χορηγεῖν, καὶ μάλιστα οἱ Δωριεῖς, ὡς Ἐ. ἐν Ὀδυσσεῖ Αὐτομόλωι. ἐν δὲ Ἁρπαγαῖς χορηγεῖον τὸ διδασκαλεῖον ὠνόμασεν.* pro *χορόν* Polluci scribendum erat *χορηγεῖον*. Epicharmi vocabulum servavit, ut videtur, Hesychius *χοραγ(ε)ίων· διδασκαλείων*. cf. Ammon. p. 148 V *χορήγιον* (l. *-γεῖον*) *καὶ χορηγὸς* (l. *χορός*) *διαφέρει. χορηγ(ε)ῖον μὲν τὸ διδασκαλεῖον καὶ χορηγὸς ὁ διδάσκαλος. χορὸς δὲ τὸ σύστημα κτλ.*

**ΑΤΑΛΑΝΤΑΙ* (p. 294 Lor)

haud dubie nec Phormidis neque Epicharmi fabula erat; difficile tamen intellectu, si homines perstringebantur a Cratino Eupoli Aristophane notati, haec fabula quomodo Siculis poetis adscribi potuerit. v. etiam ad Strattidis Atalantam.

14

Athen. XIV 618 d *ἡ δὲ τῶν ἱστουργῶν ᾠδὴ αἴλινος, ὡς Ἐ. ἐν Ἀταλάνταις ἱστορεῖ.*

15

Hesych. *Διονυσ⟨ι⟩οκ[ρ]ουροπυρώνων. Κρατῖνος ἐν Σεριφίοις . . τὸν γὰρ Διόνυσον* (l. *Διονύσιον*) *κουρέα ὄντα κωμωιδεῖ. κουρεὺς δὲ ἦν πρὸς πάππου, ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς.*

16

Schol. V Arist. Av. 1294 *Ὀπουντίωι δ' ὀφθαλμὸν οὐκ ἔχων κόραξ (ὄνομα ἦν). Δίδυμος· ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος.*

17

Et. gen. (Et. M. 630, 48) ὀρίγανον .. οὐδετέρως .. παρ' Ἐπιχάρμωι ἐν Ἀταλάντηι (sic B, ἀταλαν^τ A, plurale fort. restituendum). Athen. II 68 b οὐδετέρως δ' Ἐπίχαρμος καὶ Ἀμειψίας, i. e. τὸ ὀρίγανον.

18

Athen. XIV 652 a φοίνικα δὲ τὸν καρπὸν .. κέκληκεν .. καὶ Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις.

ΒΑΚΧΑΙ (p. 222 Lor)

19 (8 Ahr)

Athen. III 106 f ὁ μὲν ἐπίπλους παρ' Ἐπιχάρμωι ἐν Βάκχαις

καὶ τὸν ἀρχὸν ἐπικαλύψας ἐπιπλόωι.

20

Hesych. αἴγλη .. καὶ πέδη παρὰ Ἐπιχάρμωι ἐν Βάκχαις. Bekk. An. 354, 23.

ΒΟΥΣΕΙΡΙΣ (p. 223 Lor)

21 (9 Ahr)

πρᾶτον μὲν αἴκ ἔσθοντ' ἴδοις νιν, ἀποθάνοις·
βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ', ἀραβεῖ δ' ἁ γνάθος,
ψοφεῖ δ' ὁ γομφίος, τέτριγε δ' ὁ κυνόδων,
σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα.

Athen. X 411 a b ἦν καὶ ὁ Ἡρακλῆς ἀδηφάγος .. Ἐ. μὲν ἐν Βουσίριδι λέγων 'πρᾶτον .. οὔατα'. Phryn. p. 65 L ὁ φάρυγξ ἀρσενικῶς μὲν Ἐπίχαρμος λέγει.

1 πρᾶτον Ahrens αἴκ: cf. WSchulze Philol. Wochenschr. 1890 p. 1502 et Wilamowitz Goett. Gel. Anz. 1898 p. 134; tum ἀποθάνοις (ἀποθάνῃς et antea ἴδῃς CE) corruptum: offendit non tam optativus quam vocabulum velut φόβωι vel δέει omissum; fort. ἴδοις, τί κα πάθοις; 3 τέτριγ' ὁ Athen, τέτρυγε δ' ὁ Eust. 870, 11, cf. Hesych. τέτριγε· τρίζει. nuntiatur Busiridi de Herculis voracitate.

22

Poll. IX 45 ταῦτα δὲ (τὰ σιτοβόλια) ῥογοὺς Σικελιῶται ὠνόμαζον, καὶ ἔστι τοὔνομα ἐν Ἐπιχάρμου Βουσίριδι. Hesych. s. v. Inscr. It. et Sic. p. 175.

ΓΑ ΚΑΙ ΘΑΛΑΣΣΑ (p. 223 Lor)

videtur Γᾶς et Θαλάσσας certamen fuisse de suorum utriusque bonorum praestantia. pisces multos memoratos testatur Aelianus nat. an. 13, 4 (fr. 32).

23 (11 Ahr)

Athen. XIV 648 b πόλτου δὲ μνημονεύει Ἀλκμάν (fr. 75) .. καὶ Ἐ. δὲ οὕτως λέγει ἐν Γῆι καὶ Θαλάσσηι

πόλτον ἕψειν ὄρθριον.

scholium servavit Varro de ling. l. V 105 *haec (puls) appellata vel quod ita Graeci vel ab eo unde scribit Apollodorus, quod ita sonat cum aquae ferventi insipitur.*

24 (15 Ahr)

Et. gen. (Et. M. 77, 1) *ἀμαμαξύς· ἡ ἀναδενδράς .. Ἐ. ἐν Γᾶι καὶ Θαλάσσαι*

οὐδ' ἀμαμαξύας φέρει.

cf. schol. Ar. Vesp. 326. Hesych. *ἀμαμαξύς* et *ἀμαξίς*. Suid. s. v.

25 (14 Ahr)

Athen. IX 370 b *καὶ Ἐ. ἐν Γᾶι καὶ Θαλάσσαι*

ναὶ μὰ τὰν κράμβαν.

26

Athen. XIV 645 ef *ἐπικύκλιος* (fort. *ἐγκύκλιος*) *πλακοῦς τις παρὰ Συρακοσίοις .. καὶ μέμνηται αὐτοῦ Ἐ. ἐν Γᾶι καὶ Θαλάσσαι.*

27

Athen. III 120 c *τὸ σίσαρον καλούμενον, οὗ μνημονεύει Ἐ. ἐν Γῆι καὶ Θαλάσσηι.* v. ad fr. 3. ?

28

Athen. VII 322 f *σναγρίδες .. τούτων μνημονεύει Ἐ. ἐν Ἥβας Γάμωι* (v. ad fr. 69) *καὶ ἐν Γᾶι καὶ Θαλάσσαι.*

29 (10 Ahr)

Athen. VII 313 ab *Σπεύσιππος δ' ἐν δευτέρωι Ὁμοίων ὅμοιά φησιν εἶναι τῆι μαινίδι βόακας καὶ σμαρίδας, ὧν μνημονεύειν καὶ Ἐπίχαρμον ἐν Γᾶι καὶ Θαλάσσαι οὕτως*

ὄκχ' ὁρῆι βῶκάς ⟨τε⟩ πολλοὺς καὶ σμαρίδας ..

1 *οκχωρη*: corr. Casaub. *τε* add. Dindorf.

30 (13 Ahr)

Athen. III 105 b *τὸν δ' ἀστακὸν οἱ Ἀττικοὶ διὰ τοῦ ο ὀστακὸν λέγουσι .. Ἐ. δ' ἐν Γᾶι καὶ Θαλάσσαι φησίν*

κἄστακοὶ γαμψώνυχοι.

31 (12 Ahr)

Athen. III 106 de *κουρίδας δὲ τὰς καρῖδας εἴρηκε .. Ἐ. ἐν Γᾶι καὶ Θαλάσσαι*

κουρίδες τε ταὶ φοινίκιαι.

τε τε A, *τε* CE: correxi. servata sunt extrema tetrametri verba.

32

Aelian. nat. an. 13, 4 *ἀκούσειας δ' ἂν ἁλιέων καὶ ἰχθύων τινὰ καλλιώνυ-*

ἰχθύων πανθοινίαις ὧν τι καὶ ὄφελός ἐστι ποιητῶν θεμένων σπουδὴν ἐς μνήμην ἔνθεσμον, Ἐ. μὲν ἐν Ἥβας Γάμωι καὶ Γᾶι καὶ Θαλάσσαι κτλ. v. fr. 71.

ΔΙΟΝΥΣΟΙ (p. 225 Lor)

33 (17 Ahr)

χύτρα δὲ φακέας ἥψετο

Athen. IV 158c *Ἐ. δ' ἐν Διονύσοις* '*χύτρα .. ἥψ.*' Herod. dict. solit. p. 6, 22 *φακέα φακῆ. Ἐπίχαρμος* '*χύτρα .. ἥψετο*' (sic cod. Vindob. cf. Ludwich Aristarch. II 685).

ΕΛΠΙΣ Η ΠΛΟΥΤΟΣ (p. 225 Lor)

cf. Th. Birt Elpides (1881)

34. 35 (18. 19 Ahr)

34 *ἀλλ' ἄλλος ἔστειχ' ὧδε τοῦδε κατὰ πόδας,*
τὸν ῥαιδίως λαψῆι τυ κὰτ τὸ νῦν γά θην
εὔωνον ἀείσιτον· ἀλλ' ἔμπας ὅδε
ἄμυστιν ὥσπερ κύλικα πίνει τὸν βίον.

35 *συνδειπνέων τῶι λῶντι, καλέσαι δεῖ μόνον,*
καὶ τῶι γα μὴ λεῶντι, κοὐδὲν δεῖ καλεῖν.
τηνεὶ δὲ χαρίεις τ' εἰμὶ καὶ ποιέω πολὺν
γέλωτα καὶ τὸν ἱστιῶντ' ἐπαινέω·
καἴ κα τις ἀντίον ⟨τι⟩ λῆι τήνωι λέγειν,
τήνωι κυδάζομαί τε κἀπ' ὧν ἠχθόμαν.
κἤπειτα πολλὰ καταφαγών, πόλλ' ἐμπιὼν
ἄπειμι· λύχνον δ' οὐχ ὁ παῖς μοι συμφέρει,
ἕρπω δ' ὀλισθράζων τε καὶ κατὰ σκότος
ἔρημος· αἴ κα δ' ἐντύχω τοῖς περιπόλοις,
τοῦθ' οἷον ἀγαθὸν ἐπιλέγω τοῖς θεοῖς, ὅτι
οὐ λῶντι πλεῖον ἀλλὰ μαστιγοῦντί με.
ἐπεὶ δέ χ' εἵκω οἴκαδις καταφθερείς,
ἄστρωτος εὕδω· καὶ τὰ μὲν πρᾶτ' οὐ κοῶ,
ἇς κά μ' ⟨ἔχ⟩ων ὥκρατος ἀμφέπηι φρένας ..

Athen. VI 235ef *τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς ἐν τῶι Περὶ διδασκαλιῶν εὑρεθῆναί φησιν ὑπὸ πρώτου Ἀλέξιδος, ἐκλαθόμενος ὅτι Ἐ. ἐν Ἐλπίδι ἢ Πλούτωι παρὰ πότον αὐτὸν εἰσήγαγεν οὑτωσὶ λέγων* '*ἀλλ' .. βίον*' (34). *καὶ αὐτὸν ποιεῖ τὸν παράσιτον λέγοντα τοιάδε πρὸς τὸν πυνθανόμενον* '*συνδειπνέων .. φρένας*' (35). *καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράσιτος.*

34, 1 *ἄλλος ὅδ' ἕστηχ' ὅδε* A: *ὅδ'* del. Meinekius, *ἔστειχε* corr. Bergk, *ὧδε* Schweighaeuser 2 *τόν ῥα δεινῶς*: corr. censor Athen. ed. Schweigh. *και τοί νυν γαθην*: correxi 3 *ἀεὶ σῖτον* sententia haec 'hunc tu facile, ut nunc res

est, convivam habebis ad epulandum semper paratum: nam quantumvis pauper avidis tamen haustibus vitam bibit'. *ἀείσιτος* paullo aliter ac solet usurpatum, cf. Hesych. s. v.

35, 2 *τῶι γαμηλιῶντι τω γακωΰδεν δεν καλεῖν*: distinx. Petitus, *λεῶντι* Dindorf, *κοὐδὲν δεῖ* Grotius 3 *τηνιδε*: corr. Schweigh. *χαριεστ'* 5 *τι* add. Grotius *λέγει*: corr. ς 6 *καπωνηχθομαν*: dist. Meineke Bergk 8 'non habeo puerum qui in face ferenda operam mihi praebeat' i. e. ipse hoc facit 10 *ερμος*: corr. Casaub. Ahrens, i. e. 'solus in tot noctis periculis' *εκκαδεντυχω*: corr. Musurus 11 *τουτοιον*: corr. Ahr. 12 *πλεῖον* Ahr: *παιων* 13 *επιδεχειχω*: corr. Schweigh. Ahr. *οἴκαδ' εἰς*: corr. Dindorf *καταφθερεῖς*: corr. Heringa 14 *πρῶτ'* rectius fort. *κοέω*, cf. v. 3 15 *ἇς καμὼν ἄκρατος οἶνος*: *ἇς κά μ'* Toup, rectius Bergk *οἶνος* delevit, *ἔχων* supplevi.

*36

Schol. T Hom. *P* 577 *τὸ δὲ ὄνομα τοῦ παρασίτου εἴρηται ἐν Ἐλπίδι Ἐπιχάρμῳ.* ipso vocabulo poetam usum esse recte negat Wilamowitz, cf. ad fr. 35.

37 (20 Ahr)

Athen. IV 103 b *τὸ δὲ ἄικλον* (l. *αἶκλον δὲ*) *ὑπὸ μὲν τῶν ἄλλων Δωριέων καλεῖται ⟨τὸ⟩ δεῖπνον· Ἐ. γοῦν ἐν Ἐλπίδι φησίν*

ἐκάλεσε γάρ τύ τις
ἐπ' αἶκλον ἀέκων· τὺ δὲ ἑκὼν ᾤχεο τρέχων.

τὰ αὐτὰ εἴρηκε καὶ ἐν Περιάλλωι.

1 *τοι τις*: corr. Casaub. 2 *ἀέκων* Wilamowitz: *ἑκών* *τράχων* Ahrens.

38 (22 Ahr)

Herodian. dict. solit. p. 21, 10 *ἔστι μέντοι τινὰ προπαροξυνόμενα ἔχοντα τὴν αι δίφθογγον . . ἄκαιρος εὔκαιρος Πάλαιρος* (*εὐπάλαιρος* codd: corr. Cramer)· *ἐστὶ δὲ χωρίον τῆς Ἀκαρνανίας* (*ἀκαρίας* Havn. *ἰκαρίας* Vind: corr. Cramer, cf. Strabo p. 450). *μέμνηται καὶ Ἐπίχαρμος, ὡς ἐν Ἐλπίδι ⟨ἢ⟩ Πλούτωι*

οὔτ' ὢν Πάλαιρος οὔτε βοιαυτοῦ

οὖν traditum *βοιωτοῦ* Vindob. verba plane obscura, Acarnanum oppidulum si poeta commemorare potuit, potuit fortasse etiam Doriensium *Βοιόν* s. *Βοιά* vel ethnicum *Βοιάτης*, Steph. B. p. 172, 18 M. cf. Dittenberger Hermae XXXII 185.

39 (21 Ahr)

Poll. X 160 (*καλιός*) *ἤδη δὲ καὶ τὸν* (l. *τόπον*) *πρὸς οἰκήσεις* (an *οἴκησιν*?) *ἐπιτήδειον οὕτω λέγουσιν, ὡς ἐν Ἐλπίδι Ἐπιχάρμου εἴρηται*

τὸν τοῦ γείτονος καλιόν.

fort. *τόν τε γ. κ.*

40

Antiatt. Bekk. 105, 32 *λίτρα· ἦν μὲν καὶ νόμισμα Σικελικόν· ὅτι δὲ καὶ ἐπὶ τοῦ σταθμοῦ* [illegible]

ΕΟΡΤΑ ΚΑΙ ΝΑΣΟΙ v. *ΝΑΣΟΙ*

ΕΠΙΝΙΚΙΟΣ (p. 229 Lor)

fabula ab uno Hephaestione memorata p. 49, 2 *καὶ πρὸ Κρατίνου παρ' Ἐπιχάρμωι, ὃς καὶ ὅλα δύο δράματα τούτωι τῶι μέτρωι* (i. e. tetrametro anapaestico catalectico) *γέγραφε τούς τε Χορεύοντας καὶ τὸν Ἐπινίκιον* (hinc schol. Ar. Plut. 487).

ΗΒΑΣ ΓΑΜΟΣ . ΜΟΥΣΑΙ (p. 230. 238 Lor)

Athen. III 110 b *Ἐπίχαρμος ἐν Ἥβας Γάμωι κἀν Μούσαις· τοῦτο δὲ τὸ δρᾶμα διασκευή ἐστι τοῦ προκειμένου.* coniunxi fabulas inter se simillimas, neque curo Aelianum nat. an. 13, 4, qui sic memorat *Ἐπίχαρμος ἐν Ἥβας Γάμωι καὶ Γᾶι καὶ Θαλάσσαι καὶ προσέτι Μούσαις.* nuptiarum lautitiae non in scaena actae sed sciscitanti alicui videntur narratae fuisse velut a Mercurio.

41

Tzetzes ad Hesiodi op. 6 (p. 23 Gaisf) *Ἐ. δ' ἐν τῶι τῆς Ἥβας Γάμωι ἑπτὰ λέγει (Μούσας), θυγατέρας Πιέρου καὶ Πιμπληίδος νύμφης, Νειλοῦν Τριτώνην Ἀσωποῦν Ἑπταπόρην Ἀχελωίδα Τιτόπλουν καὶ Ῥοδίαν.* eadem omisso fabulae nomine Cram. An. Ox. IV 424, ubi *Πιμπλιάδος νύμφης* scriptum. parentum nomina a pinguedine et ab impletione ridicule ficta, filiarum nomina a fluminibus piscosis ducta; scribendum videtur *Τριτωνίδα* et *Ἑπτάποριν*, praeterea *Τιτωνοῦν* pro *Τιτόπλουν*, cf. Philostephanus in schol. Lycophr. 1276.

42. 43 (23. 51 Ahr)

42 *ἄγει δὲ παντοδαπὰ κογχύλια,*
λεπάδας, ἀσπέδους, κραβύζους, κικιβάλους, τηθύνια,
κτένια, βαλάνους, πορφύρας, ὄστρεια συμμεμυκότα,
τὰ διελεῖν μέν ἐντι χαλεπά, καταφαγῆμεν δ' εὐμαρέα,
μύας ἀναρίτας τε κάρυκάς τε καὶ σκιφύδρια,
τὰ γλυκέα μέν ἐντ' ἐπέσθειν, ἐμπαγῆμεν δ' ὀξέα,
τούς τε μακρογογγύλους σωλῆνας· ἁ μέλαινά τε
κόγχος, ἅπερ κογχοθηρᾶν παισὶν εστρισώνια·
θάτεραι δὲ γάιαι κόγχοι τε κἀμαθίτιδες,
ταὶ κακοδόκιμοί τε κηὔωνοι, τὰς ἀνδροφυκτίδας
πάντες ἄνθρωποι καλέονθ', ἁμὲς δὲ λεύκας τοὶ θεοί.

43 *κόγχος, ἃν τέλλιν καλέομες· ἐστὶ δ' ἅδιστον κρέας.*

Athen. III 85 c e *σχεδὸν τὰ πλεῖστα αὐτῶν* (conchyliorum et ostrearum genera) *μνήμης ἠξιωμένα παρ' Ἐπιχάρμωι ἐν Ἥβας Γάμωι εὑρίσκω διὰ τούτων* '*ἄγει δὲ .. τοὶ θεοί*' (42). *ἐν δὲ Μούσαις γράφεται ἀντὶ τοῦ* '*κόγχος .. εστρισωνια*' (v. 8) '*κόγχος ἃν . . κρέας*' (43).

42, 2 *ἀσπέδους* suspectum *κηκιβάλους*, cf. Hesych. *κικοβαυλίτιδες* 2. 3 *τηθύνια* Mein. *κτένια* Ahr: *τηθυνάκια* 3 *ὄστρεα*: recte Athen. III 92 f *Ἐ. ἐν Ἥβας Γάμωι* '*ὄστρεια συμπεφυκότα*' 4 *ἐστι*, cf. v. 6 *καταφαγεῖν δ'*: corr. Mein.

5 *ἀναρίπτας*: ed. Basil. 8 *παισὶν* Bergk: *πᾶσιν,* extremum vocab. corruptum 9 *δέ ται κόγχοι τεαι ἀμαθίτιδες*: Ahr. 10 *ταὶ* Ahr: *τε* *κακοδόκιμοστε*: Musur. *κηΰγονοι*: Ahr. cf. Hesych. *εὔωνον· ὃ μὴ ἄξιον λόγου.*

43 *ἀντέλλειν*: corr. Casaub. Dind.

44 (50. 52 Ahr)

μύες . . ἀλφησταί τε κορακῖνοί τε κοριοειδέες,
αἰολίαι πλῶτές τε κυνόγλωσσοί τ', ἐνῆν δὲ σκιαθίδες
πίονες χἰππίδια λεῖα ψύχειπαλο κουρίδες.

Athen. VII 282a *μνημονεύει δ' αὐτοῦ* (i. e. *τοῦ ἀλφηστοῦ*) . . *καὶ Ἐ. ἐν Ἥβας Γάμωι* '*μύες . . κοριοειδέες*'. id. 308a *ἐν δὲ Ἥβας Γ. καὶ τῶν αἰολιῶν μνημονεύει ὡς διαφόρων* (a coracinis) '*μύες . . κυνόγλωσσοί τε*'. id. 288b *περὶ ὧν* (i. e. *τῶν κυνογλώσσων*) . . *Ἐ. φησιν* '*αἰολίαι . . σκιαθίδες*', cf. 322 f. id. 307b *καὶ Ἐ. δ' ἐν Μούσαις οὕτως αὐτοὺς* (i. e. *τοὺς πλῶτας*) *ὀνομάζει* '*αἰολίαι . . σκιαθίδες*'. accedit id. 304e *ἵπποι· μήποτε τούτους ἱππίδια καλεῖ Ἐ. ὅταν λέγηι* '*κορακῖνοι δὲ κοριοειδέες πίονες . . κουρίδες*'. hinc v. 3 adiunxi.

2 *ἐνῆν δὲ καὶ σκ.* 288b, corruptius 322 f 3 *ληπιδια*: corr. Dindorf, tum velut *φυκιόπλοοι κουρίδες.*

45. 46 (25. 49 Ahr)

45 *λαμβάνοντι γὰρ*
ὄρτυγας στρουθούς τε κορυδαλλάς ⟨τε⟩ φιλοκονίονας
τέτραγάς τε σπερματολόγους κἀγλαὰς συκαλλίδας.

46 *ἦν δ' ἐρωιδιοί τε πολλοὶ μακροκαμπυλαύχενες*
τέτραγές τε σπερματολόγοι κἀγλααὶ συκαλλίδες.

Athen. IX 398d (*τέτραξ*) *καὶ Ἐ. ἐν Ἥβας Γάμωι* '*λαμβάνοντι . . συκαλλίδας*' (45). *καὶ ἐν ἄλλοις δέ φησιν* (in Musis, opinor) '*ἦν δ' . . συκαλλίδες*' (46). id. II 65 *Ἐ.* '*ἀγλαὰς συκ.*' *καὶ πάλιν* '*ἦν δ' . . συκ.*' *ἁλίσκονται δ' αὗται τῶι τῶν σύκων καιρῶι· διὸ βέλτιον ὀνομάζοιντ' ἂν δι' ἑνὸς λ; διὰ δὲ τὸ μέτρον Ἐ. διὰ δυοῖν εἴρηκεν.* metrum cum non obstaret, revera *συκαλίδες* poeta videtur scripsisse.

45, 2 *τε κορυδ.* Porson: *τε καὶ κορυδ.* *φιλοκονείμονας*: correxi 3 *τετρ. σπερματ. τε*: corr. Porson.

47. 48 (43. 54 Ahr)

47 *κομαρίδας τε καὶ κύνας κέστρας τε πέρκας τ' αἰόλας.*

48 *χαλκίδας τε καὶ κύνας κέστρας τε πέρκας τ' αἰόλας.*

Athen. VII 319b *Ἐ. δέ φησιν* '*κομαρίδας . . αἰόλας*' (47) et ibid. litt. c *πέρκη· καὶ ταύτης Ἐ. ἐν Ἥβας Γάμωι μέμνηται καὶ Σπεύσιππος, ὧν τὰ μαρτύρια πρόκειται.* id. 323a *Ἐ. δ' ἐν Μούσαις κέστρας ὀνομάσας οὐκέτι σφυραίνας ὀνομάζει ὡς ταὐτὸν οὔσας* '*χαλκίδας . . αἰόλας*' (48). id. 323c *Ἐ. Ἥβας*

49. 50 (39. 55 Ahr)

49 *σκορπίοι τε ποικίλοι σαῦροί τε, γλαῦκοι πίονες.*

50 *σκορπίοι τε ποικίλοι γλαῦκοί τε, σαῦροι πίονες.*

Athen. VII 295b *γλαῦκος· Ἐ. ἐν Ἥβας Γάμωι ʻσκορπίοι .. πίονεςʼ* (49). id. 320e *Ἐ. δʼ ἐν Μούσαις ποικίλον εἶναί φησι τὸν σκορπίον ʻσκορπίοι .. πίονεςʼ* (50).

51 (40 Ahr)

κὠξύρυγχοι ῥαφίδες ἵππουροί τε καὶ χρυσόφρυες.

Athen. VII 304c (*ἵππουροι*) *μνημονεύει δʼ αὐτῶν Ἐ. ἐν Ἥβας Γάμωι ʻκὠξύρυγχοι .. χρυσ.ʼ* id. 319c *ῥαφίδες· καὶ τούτων μέμνηται Ἐ. λέγων ʻκὠξ... ἵππουροί τεʼ.* id. 328ab *μνημονεύει δʼ αὐτῶν* (*τῶν χρυσοφρύων*) *καὶ Ἐ. ἐν Μούσαις.* rectius fort. *ῥαπίδες*, cf. Antiatt. Bekk. 113 *ῥαπίδα· τὴν βελόνην. Ἐπίχαρμος.*

52

Athen. III 110b (cf. XIV 645e. 646b) *Ἐ. δʼ ἐν Ἥβας Γάμωι κἀν Μούσαις .. ἄρτων ἐκτίθεται γένη κριβανίτην, ὅμωρον, σταιτίτην, ἐγκρίδα, ἀλειφατίτην, ἡμιάρτιον.* *ὅμορον* CE, *ὅμουρα* Hesych. v. Sophronis fr. 23. praeterea fort. *κλιβανίτην*, v. fr. 143, simul vero Sophr. fr. 23. 24.

53 (26 Ahr)

Athen. III 91c *καὶ Ἐ. ἐν Ἥβας Γάμωι περὶ τῶν ἐχίνων φησί*

καρκίνοι θʼ ἵκοντʼ ἐχῖνοί θʼ, οἳ καθʼ ἁλμυρὰν ἅλα
νεῖν μὲν οὐκ ἴσαντι, πεζᾶι δʼ ἐμπορεύονται μόνοι.

1 *θικοντι ἐχῖνοί τε τοι* et 2 *πεζαὶ δʼ*: corr. Toup.

54 (24 Ahr)

αὐτὸς ὁ Ποτιδὰν ἄγων γαύλοισιν ἐν Φοινικικοῖς
εἶκε καλλίστους αδητατήγανος ἁγεμὼν σπάρους
καὶ σκάρους, τῶν οὐδὲ τὸ σκᾶρ θέμιτον ἐκβαλεῖν θεοῖς.

Athen. VII 320c (*σπάρος*) *Ἐ. δʼ ἐν Ἥβας Γάμωι ʻαὐτὸς .. θεοῖςʼ.* id. 319f (*σκάρος*) *Ἐ. δʼ ἐν Ἥβας Γ. φησὶν ʻἁλιεύομεν σπάρους καὶ σκάρους .. θεοῖςʼ.*

1 *ποτιδαναιων γαυλοῖς*: corr. Koen 2 *εἶκε* Ahr: *εἰ καί*, tum incertum *ἁγεμών* fuerit an *ἁλιέων*, sententia obscura 3 *σκῶρ*: Wilamowitz.

55. 56 (44. 31 Ahr)

55 *αἱ δὲ λῆις, σαργοί τε χαλκίδες τε καὶ τοὶ πόντιοι ..*

56 *ἦν δὲ σαργῖνοί τε μελάνουροί τε καὶ ταὶ φίνταται*
ταινίαι, λεπταὶ μὲν ἁδεῖαι δὲ κὠλίγου πυρός.

Athen. VII 321b (*σαργοί*) *Ἐ. δʼ ἐν Ἥβας Γάμωι ʻαἱ δὲ .. πόντιοιʼ* (55). *ὡς διαφόρους δὲ τοὺς σαργίνους ἐν τοῖσδε καταλέγει ʻἦν δὲ .. ἁδεῖαι δέʼ.* id. 325f

ταινίαι· καὶ τούτων Ἐ. μέμνηται 'καὶ ταὶ . . πυρός'. id. 313 d (*μελάνουρος*) *μνημονεύει δ' αὐτοῦ Ἐ. ἐν Ἥβας Γ. 'ἦν δὲ . . μελάνουροί τε'.*

56, 2 *ἀδεῖαι* superscr. *η* 325 f, fort. *ἁδέαι.*

57 (27 Ahr)

Athen. III 105 a b (cf. litt. c) *καὶ Ἐ. δ' ἐν Ἥβας Γάμωι τὸν προειρημένον ἀστακὸν ὑπὸ τοῦ Ἀρχεστράτου δηλοῖ ὅτι κάραβός ἐστι, λέγων οὕτως*

ἐντὶ δ' ἀστακοὶ κολύβδαιναί τε χὡς τὰ πόδι' ἔχει
μικρά, τὰς χεῖρας δὲ μακράς, κάραβος δὲ τοὔνομα.

1 *τ' ἔχοστα*: corr. Porson Dind. 2 *τὤνυμα* Ahr.

58 (29 Ahr)

καὶ σκιφίας χρόμις θ', ὃς ἐν τῶι ἦρι κὰτ τὸν Ἀνάνιον
ἰχθύων πάντων ἄριστος, ἀνθίας δὲ χείματι.

Athen. VII 282 a b *ἀνθίας κάλλιχθυς· τούτου μέμνηται Ἐ. ἐν Ἥβας Γάμωι 'καὶ . . χείματι'.* id. 328 a *χρόμις· καὶ τουτου μνημονεύει Ἐ. λέγων 'καὶ . . ἄριστος'.* cf. Anan. fr. 5 B.

1 *χρόμιος* 282 *χρομίας* 328: corr. Ahr. *θ' ὃς* Schweigh: *τε ἃς* 328 *τ'* 282.

59 (30 Ahr)

Athen. VII 286 b (*βατίδος μνημονεύει*) *καὶ Ἐ. ἐν Ἥβας Γάμωι*

ἦν δὲ νάρκαι, βατίδες, ἦν δὲ ⟨καὶ⟩ ζύγαιναι, πρήστιες,
κἀμίαι τε καὶ βάτοι ῥῖναί τε τραχυδέρμονες.

1 *καὶ* supplevi 2 *καμειται βάτοι*: corr. Porson.

60 (35. 36 Ahr)

ἔτι δὲ πὸτ τούτοισι βῶκες, σμαρίδες, ἀφύαι, κάμμαροι,
βαμβραδόνες τε καὶ κίχλαι, λαγοὶ δράκοντές τ' ἄλκιμοι.

Athen. VII 286 f (*βῶκες*) *Ἐ. δ' ἐν Ἥβας Γάμωι 'ἔτι . . κάμμαροι'.* id. 306 c *κάμμοροι. Ἐ. ἐν Ἥβας Γ. 'ἔτι . . κάμμοροι'.* id. 287 b *Ἐ. ἐν Ἥβας Γ. βαμβραδόνας αὐτὰς καλεῖ 'βαμβρ. . . ἄλκιμοι'.* cf. VII 305 c. Et. gen. app. litt. *B* = Et. M. 195, 30 *βεμβράς· εἶδος ἰχθύος εὐτελοῦς. Ἐ. δ' αὐτὰς ⟨βεμ⟩βραδόνας καλεῖ '⟨βεμ⟩βραδόνες . . ἄλκιμοι'.* huc spectat Athen. VII 285 a b *Ἐ. δ' ἐν Ἥβας Γ. ἐν μεμβράσι καὶ καμμάροις* (*καμάροις* A) *τὰς ἀφύας καταριθμεῖται, διαστέλλων τὸν λεγόμενον γόνον,* ideoque duos hos versus coniunxi.

1 *ἔτι δ' ἐπὶ τούτοις* 306 c *κάμμοροι* 306 c 2 sic Et. gen: *βαμβρ. δ' ἔτι κίχλαι καὶ λαγοί* Ath. 287 b, *β. τε κίχλαι τε καὶ λαγοί* id. 305 c, fort. *βαμβρ. κίχλαι τε καὶ λ.* ceterum cf. Ath. IX 400 c (*λαγός*) *οὕτως δ' ἐχρήσατο τῶι ὀνόματι καὶ Ἐ. κτλ.*

61 (33 Ahr)

πώλυποί τε σηπίαι τε καὶ ποταναὶ τευθίδες

Athen. VII 318 e Ἐ. δ' ἐν Ἥβας Γάμωι 'πώλυποι .. ἐριθ.' id. 323 f Ἐ. δ' ἐν Ἥβας Γ. 'πώλυποι . . τευθίδες'.

1 πώλυπες A 323 f ποτ' αἶναι A: recte C 2 χαλυσώδεις: corr. Casaub. cf. Hesych. ἐριθάκη .. καὶ τὸ ἐγκοίλιον τῶν ἰχθύων τῶν μαλακῶν.

62 (32 Ahr)

καὶ χελιδόνες τε μύρμαι θ', οἵ τε κολιᾶν μέζονες
ἐντὶ καὶ σκόμβρων, ἀτὰρ τᾶν θυννίδων γα μείονες.

Athen. VII 321 a (σκόμβροι) μνημονεύει αὐτῶν οὕτως (ut exiguos esse dicat) καὶ Ἐ. ἐν Ἥβας Γάμωι 'καὶ χελ... μείονες'. id. 313 e Ἐ. δ' ἐν Ἥβας Γ. μύρμας αὐτους (i. e. τοὺς μορμύρους) ὀνομάζει, εἰ μὴ διάφοροι τὴν φύσιν εἰσίν· γράφει δ' οὕτως 'χελιδόνες . . ἐντί'.

1 τοί τε κοιλίαν A: θ' οἵ τε Ahr. κολιᾶν Casaub. μείζονες p. 321
2 θυννίλων A: corr. Casaub. γε μηονος A: Casaub.

63 (33 Ahr)

ἀόνες φάγροι τε λάβρακές τε καὶ ταὶ πίονες
σκατοφάγοι σάλπαι βδελυχραί, ἁδέαι δ' ἐν τῶι θέρει.

Athen. VII 321 d σάλπη· Ἐ. Ἥβας Γάμωι 'ἀόνες .. θέρει'. id. 327 c (φάγρος) Ἐ. δ' ἐν Ἥβας Γ. φησὶν 'ἀόνες . . λαβρ.' Hesych. ἀών.

1 τε λαβρ. 321: τε καὶ λαβρ. 327 καὶ ταὶ C: καί τε A.

64 (37 Ahr)

ἆγε δὴ τρίγλας τε κυφὰς κἀχαρίστους βαιόνας.

Athen. VII 288 a Ἐ. δ' ἐν Ἥβας Γάμωι βαιόνας τινὰς ἰχθῦς καλεῖ ἐν τούτοις 'ἆγε .. βαιόνας'. id. 324 e ἀπὸ δὲ τοῦ συμβεβηκότος Ἐ. ὀνομάζει αὐτὰς (τὰς τρίγλας) κυφὰς ἐν Ἥβας Γ. διὰ τούτων 'ἆγε . . βαιόνας'.

δὴ 324: δὲ 288. addit Athen. 288 proverbium μή μοι βαιών· κακὸς ἰχθύς.

65 (38 Ahr)

ἦν δ' ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.

Athen. VII 306 a (κίθαρος) Ἐ. Ἥβας Γάμωι 'ἦν .. ἐνῆς'. id. 326 e ὗες· Ἐ. ἐν Ἥβας Γ. 'ἦν . . ἐνῆς'. id. 330 a βουγλώσσους δ' ὀνομάζει καὶ Ἐ. ἐν Ἥβας Γ. 'ὑαινίδες .. κίθαρος'. id. 288 b Ἐ. δ' ἐν Ἥβας Γ. 'βούγλωσσοι .. ἐνῆς'.

ἦ δ' 306.

66 (41 Ahr)

Athen. VII 309 d Ἐ. δ' ἐν Ἥβας Γάμωι κωβιοὺς ὀνομάζει

τρυγόνες τ' ὀπισθόκεντροι καὶ μάλ' αδροὶ κωβιοί.

χαλαδροι A χαλάδριοι C: corr. Casaub.

67 (42 Ahr)

μεγαλοχάσμονάς τε χάννας κἠκτραπελογάστρους ὄνους.

Athen. VII 315 f (*ὄνοι*) *μνημονεύει δ' αὐτῶν 'Ε. ἐν Ἥβας Γάμωι* '*μεγαλ. . . ὄνους*'. id. 327 f *χάνναι· 'Ε. ἐν Ἥβας Γ.* '*μεγαλ. . . ὄνους*'. Clem. Alex. paed. II 18 *τοῦτον* (*τὸν ὄνον*) *ἐκτραπελόγαστρον 'Ε. καλεῖ ὁ κωμικός*.

μεγαλοχάμμονας 327 (*σ*)*κηπτραπελογάστορας* Athen: corr. e Clemente.

68 (45 Ahr)

χαλκίδες θ' ὗες τε ἱέρακές τε χὠ πίων κύων.

Athen. VII 326 e *ὗες· 'Ε. ἐν Ἥβας Γάμωι* (sequitur fr. 65) . . *λέγει δέ τινας καὶ ὗας διὰ τούτων* '*χαλκίδες . . κύων*'. id. 328 c *'Ε. δ' ἐν Ἥβας Γ.* '*χαλκίδες . . κύων*'. *χαλκίδας* et *ἱέρακα* simul commemorat Epaenetus Athen. 328 f.

*69 (47 Ahr)

σναγρίδας μαζούς τε συνόδοντάς τ' ἐρυθροποικίλους.

Athen. VII 322 f *σναγρίδες· τούτων μνημονεύει 'Ε. ἐν Ἥβας Γάμωι καὶ ἐν Γᾶι καὶ Θαλάσσαι.* ad alteram utram fabulam referendus versus apud Athen. 322 b *συνόδοντες* [*καὶ συναγρίς* hoc lemmatis augmentum spurium videtur]. *καὶ τούτων 'Ε. μέμνηται* '*συναγρίδες . . ἐρυθροποικίλους*'. *συναγρίς* audit apud Aristotelem quoque et Hesychium; tamen dubito num vere.

70 (46 Ahr)

Poll. X 86 *καὶ λεκίδα δὲ 'Ε. εἴρηκεν ἐν Ἥβας Γάμωι*

λεκίδα κἠμβάφια δύο.

cf. Hesych. *λεκίς· παροψίς* et infra fr. 126.
κέμβάφια Poll.

71 (48 Ahr)

Athen. VII 282 d *'Ε. δ' ἐν Μούσαις τὸν μὲν ἔλοπα καταριθμεῖται, τὸν δὲ κάλλιχθυν ἢ καλλιώνυμον ὡς τὸν αὐτὸν ὄντα σεσίγηκεν. λέγει δὲ περὶ τοῦ ἔλοπος οὕτως*

τόν τε πολυτίματον ἔλοφ', ὃ δ' αὐτὸς χαλκὸς ὤνιος,
ἕνα μόνον· καὶ κῆνον ὁ Ζεὺς ἔλαβε κἠκελήσατο
κατθέμειν αὐτῶι τε οἱ καὶ τᾶι δάμαρτι θωτέρω.

1 extrema corrupta; sententia haec fere videtur fuisse *ὃ δ' οὐδὲ χρυσοῦ 'στ' ὤνιος*. Varro Menipp. fr. 549 B *nec multunummus piscis ex salo captus helops*. Madvig *ὃ δ' αὐτὸς καλλιώνυμος* metro invito, nisi forte non poetae sed interpolatoris verba esse dicas, v. quae scripsit Athenaeus. de elopis raritate v. Aelian. n. anim. VIII 28 et XIII 4 (fr. 32). 2 *κηννον* A, iure fort. Ahrensius requirebat *τῆνον* 3 *κατθενμὲν* A: Ahr. Trypho *Πάθη λέξ.* § 23 *ὡς παρ' Ἐπιχάρμωι τὸ κατθεῖναι ἀντὶ τοῦ καταθεῖναι* non nisi de syncopa loquitur. *τε οἱ* Casaub: *τε ει* *θωτέρω* corruptum, conicias *θώστριον* (i. e. cibum) a verbo *θῶσθαι* factum, ut *στεγάστριον* et *θερίστριον*, incertius Hesych. *φαμ-*

72 (53 Ahr)

Athen. VII 312 c Ἐ. δ' ἐν Μούσαις χωρὶς τοῦ σ̄ μυραίνας αὐτὰς καλεῖ οὑτωσὶ λέγων

οὔτε ⟨οἱ⟩ γόγγρων τι παχέων οὔτε μυραινᾶν ἀπῆς.

γόγγρωι A: οἱ supplevi, i. e. Neptuno piscium copias advehenti, v. fr. 54. 64.

73

Athen. VII 297 c τῶν θαλασσίων ἐγχέλεων μνημονεύει Ἐ. ἐν Μούσαις.

74

Athen. VII 303 d θυννίδες . . καὶ Σπεύσιππος . . διίστησιν αὐτὰς τῶν θύννων καὶ Ἐ. ἐν Μούσαις. cf. fr. 62.

75

Athen. IV c. 84 p. 184 f καὶ τὴν Ἀθηνᾶν δέ φησιν Ἐ. ἐν Μούσαις ἐπαυλῆσαι τοῖς Διοσκούροις τὸν ἐνόπλιον. cf. schol. Pind. Pyth. II 127, ubi τὸν ἐνόπλιον νόμον scriptum.

ΗΡΑΚΛΗΣ Ο ΕΠΙ ΤΟΝ ΖΩΣΤΗΡΑ (p. 241 Lor)

76 (57 Ahr)

⟨ὁ⟩ Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων
τῶν μεζόνων, οὕς φαντι τὰν Αἴτναν ἔχειν.

Schol. V Arist. Pac. 73 μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι· μαρτυροῦσι δ' οἱ ἐπιχώριοι, Ἐ. ἐν Ἡρακλεῖ τῶι ἐπὶ τὸν ζωστῆρα 'πυγμαρίωνι λ. ἐκ τ. κ. τ. μειζόνων, οὕς φασι τὴν Αἴτνην ἔχειν'. dorice refinxit Ahrens.

1 ὁ Crusius, Πυγμαρίων Dindorf. de Herculis cum Pygmaeis pugna fabulam a Philostrato imag. II 22 narratam significavit Crusius. res incerta.

*77

Antiatt. Bekk. 83, 28 Ἀφάννας (ἀφάνηας cod). Ἐ. Ἡρακλεῖ τῶι ⟨ἐπὶ τὸν ζωστῆρα⟩. Steph. B. p. 149, 1 Ἄφανναι, χωρίον Σικελίας ἄσημον, ἀφ' οὗ ἡ εἰς Ἀφάννας ἐπὶ τῶν ἀδήλων καὶ ἐκτετοπισμένων. aliter Zenob. vulg. III 92 (cf. Ath. II 36) λέγεται δ' ἡ παροιμία ἐπὶ τῶν δοκούντων ἀνυποστάτων εἶναι. Hesych. Ἀφάνναι· χωρίον τῆς Δαμαρ(ε)τίδος φυλῆς. πόρρωθεν. dicebatur aliquis hostem invictum (Herculem?) fugasse ad ultima usque terrarum.

probabiliter huc rettulit Wilamowitz, nam agitur fabula non in Libya sed apud Siculos.

ΗΡΑΚΛΗΣ Ο ΠΑΡΑ ΦΟΛΩΙ (p. 241 Lor)

78 (56 Ahr)

ἀλλὰ μὰν ἐγὼν ἀνάγκαι ταῦτα πάντα ποιέω·
οἴομαι δ' οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄταν ἔχων.

Eustratius ad Aristot. Eth. Nicom. III 5, 4 ed. Heylb. *παροιμία γὰρ τοῦτο* (i. e. *οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄκων μάκαρ*), *ἧι καὶ Ἐ. ὁ Συρακούσιος χρῆται ἐν οἷς φησιν 'ἀλλὰ .. ἔχων'. ἐν Ἡρακλεῖ δὲ ταῦτα τῶι παρὰ Φόλωι κεῖται.*

1 *ἀναγκαῖα*: corr. Ahr, fort. *ἐγὼν γ' ἀνάγκαι.*

ΘΕΑΡΟΙ (p. 242 Lor)

79 (58 Ahr)

κιθάραι, τρίποδες, ἅρματα, τράπεζαι χάλκιαι,
χειρόνιβα, λοιβάσια, λέβητες χάλκιοι,
κρατῆρες, ὀδελοί· τοῖς γα μὰν ὑπωδέλοις
καιλωτε βαλλίζοντες σιοσσον χρῆμα εἴη.

Athen. IX 408 d *Ἐ. δ' ἐν Θεαροῖς εἴρηκε χειρόνιβα διὰ τούτων 'κιθάρα . . λ. χάλκιοι'.* id. VIII 362 b *Ἐ. ἐν τοῖς Θεαροῖς μέμνηται τοῦ βαλλισμοῦ . . ἐν οὖν τῶι δράματι οἱ θεωροὶ καθορῶντες τὰ ἐν Πυθοῖ ἀναθήματα καὶ περὶ ἑκάστου λέγοντες φασὶ καὶ τάδε 'λέβητες . . εἴη.*

1 *κιθάρα*: corr. Meinekius *χαλκεῖαι* A 2 *λοιβλιλεβητες* A: Grotefend *χάλκειοι* 408 *χάλκεοι* 362 3. 4 *ὑπώδελοι* quid esse possint hoc loco non video, nec si *τριωδέλοις* (Hes. s. v) conicias, multum proficies; tum fortasse *χλιδῶντι βαλλίζοντες, ὅσσον χρῆμ' ἔνι* (vel *ἐνῇς*).

80 (59 Ahr)

Athen. III 107 a *ὁ μὲν ἐπίπλους παρ' Ἐπιχάρμωι . . ἐν Θεαροῖς*

ὀσφύος τε πέρι κἠπιπλόου.

καὶ ἐπιπλου: corr. Ahr.

ΚΥΚΛΩΨ (p. 243 Lor)

81 (62 Ahr)

Herodian. dict. solit. p. 10, 30 *εἴρηται δὲ καὶ Ποτιδᾶς* (*ποτίδας* Vind. *ποτείδας* Havn) *ὡς Κερκιδᾶς* (*κερκίδας* codd)· *ἔνθεν αἰτιατικὴ ἐν Κύκλωπι* (antecedit Epich. fr. 115)

ναὶ τὸν Ποτιδᾶν, κοιλότερος ὁλμοῦ πολύ.

ναὶ τὸν Mein: *αἰνετὸν* codd; tum aut *Ποτειδᾶν*, ut Herodianus erraverit, aut *κοιλότερός* ⟨*ἐσθ'*⟩ *ὁλμοῦ.* iurat Polyphemus per patris nomen.

82 (60 Ahr)

Athen. IX 366 b *Ἐ. ἐν Κύκλωπι*

χορδαί τε ἁδύ, ναὶ μὰ Δία, χὡ κωλεός.

83 (61 Ahr)

Athen. XI 498 a *τὸ σκύφος οὐδετέρως . . καὶ Ἐ. ἐν Κύκλωπι*

φέρ' ἐγχέας εἰς τὸ σκύφος.

ΚΩΜΑΣΤΑΙ Η ΑΦΑΙΣΤΟΣ (p. 244 Lor)

Boethus apud Photium *Ἥρας δεσμοὺς ὑπὸ υἱέος. Πολιτείας β'* (Plato II 378 d) *οὕτω γραπτέον. παρὰ Πινδάρωι γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῶι ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνωι. ὃ τινὲς ἀγνοήσαντες γράφουσιν 'ὑπὸ Διός', καὶ φασὶ δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμης. ἡ ἱστορία* (sic e Suida corr) *καὶ παρ' Ἐπιχάρμωι ἐν Κωμασταῖς ἢ Ἡφαίστωι.* cf. Welcker Nachtr. zur Aesch. Tril. p. 300. Wilamowitz Nachr. d. Goett. Gesellsch. 1895 p. 217.

84 (63 Ahr)

Athen. IX 389a (*πέρδιξ*) *Ἐ. δ' ἐν Κωμασταῖς βραχέως*

σηπίας τ' ἄγον νεούσας πέρδικάς τε πετομένους.

ἄγαν ἑούσας A: corr. Schweigh; possis *ἄγει* alia plura.

85 (64 Ahr)

Apollon. de pron. p. 96a *τεῦς· αὕτη σύζυγος τῆι ἐμεῦς. Ἐ. ἐν Κωμασταῖς ἢ Ἁφαίστωι*

οὐδὲ ποτθιγεῖν ἐγὼν τεῦς ἀξιῶ.

οὐδεποτ' ἴοιγινετ' ἐγὼν: correxi duce Ahrensio, qui *ἀλλ' οὐδὲ ποτθιγεῖν ἔτ' ἐγών κτλ.*

86

Hesych. *φρύγιον ἱστόρησον· πέπαιχεν Ἐ. ἐν Κωμασταῖς ἐπικενώμενος.* plane haec obscura.

ΛΟΓΟΣ ΚΑΙ ΛΟΓΙΝΑ (p. 244 Lor)

Λογίνα ab *Λόγος* similiter ductum ac *παλλακῖνος δελφακίνα κορακῖνος ἀγρωστῖνος* ab *παλλακή δέλφαξ κόραξ ἀγρώστης.* pertinent huc Hesychii *ἐργαστῖναι· αἱ τὸν πέπλον ὑφαίνουσαι*, quod vocabulum in Atticis titulis nondum repertum dubites num Atticum fuerit. Italiotica maxime haec formatio videtur (*regina latrina gallina*), quamquam eiusdem generis sunt etiam *Ἀρκτῖνος Χαροπῖνος* (Herod. V 99) *Εὐκολίνη βουκολίνη* alia.

87 (65 Ahr)

Athen. VIII 338 d *τοιαῦτα δὲ καὶ Ἐ. παίζει, ὥσπερ ἐν Λόγωι καὶ Λογίναι* (*λόγον εἶναι* A)

— *ὁ Ζεύς μ' ἐκάλεσε, Πέλοπί γ' ἔρανον ἱστιῶν.*
— *ἦ παμπόνηρον ὄψον, ὦ 'τάν, ὁ γέρανος.*
— *ἀλλ' οὔτι γέρανον, ἀλλ' ἔρανόν ⟨γά⟩ τοι λέγω.*

1 *ἑστιῶν* 3 *γα* add. Ahr.

88 (66 Ahr)

Hephaest. p. 49, 4 *Ἀριστόξενος ὁ Σελινούντιος . . οὗ καὶ αὐτὸς Ἐ. μνημονεύει ἐν Λόγωι καὶ Λογίναι*

οἳ τοὺς ἰάμβους καὶ τὸν ἄριστον τρόπον,
ὃν πρᾶτος εἰσαγήσαθ' ὡριστόξενος.

1 *κὰτ τὸν ἀρχαῖον τρόπον* Porson, quod non sufficit 2 *εἰσηγήσαθ'*

89 (67 Ahr)

Athen. III 106 d e *κουρίδας δὲ τὰς καρῖδας εἴρηκε Σώφρων . . 'Ε. δὲ ἐν Γᾶι καὶ Θαλάσσαι* (fr. 31) . . *ἐν δὲ Λόγωι καὶ Λογίναι διὰ τοῦ ω̄ εἴρηκεν*

ἀφύας τε κωρίδας τε καμπύλας.

ΜΕΓΑΡΙΣ (p. 245 Lor)

90 (68 Ahr)

Athen. VII 286 c (*βάτος βατίς*) *'Ε. ἐν Ἥβας Γάμωι* (fr. 59) . . *ἐν δὲ Μεγαρίδι*

τὰς πλευρὰς οἱόνπερ βατίς,
τὰν δ' ὀπισθίαν ἔχεις, Θεάγενες, οἱόνπερ βάτος,
τὰν δὲ κεφαλὰν ὀστέων οἱόνπερ ἔλαφος οὐ βατίς,
τὰν δὲ λαπάραν σκορπίος παῖς ἐπιθαλάττιος τεοῦ.

2 *ἔχησθ' ἀτενὲς* A: correxi 3. 4 non intellego.

91 (69 Ahr)

Hephaest. p. 13, 1 *ἤδη μέντοι ἡ διὰ τοῦ μν̄ σύνταξις ἐποίησέ που καὶ βραχεῖαν, ὡς . . παρ' Ἐπιχάρμωι ἐν Μεγαρίδι*

εὔυμνος καὶ μουσικὰν ἔχουσα πᾶσαν, φιλόλυρος.

in fine quod addunt codices (etiam Ambrosianus, Studemund Anecd. I 111) *ἠχῆι* delevit Arnaldus, licet unde inrepserit non facile dicas.

92 (70 Ahr)

Athen. IX 366 a b *οἶδα γὰρ καὶ οὕτως λεγόμενον κωλεὸν ἀρσενικῶς . . 'Ε. γοῦν ἐν Μεγαρίδι φησὶν ορεατηρηδιον κωλεοί, σφονδύλοι, τῶν δὲ βρωμάτων | οὐδὲ ἕν.* recte, ut videtur, *ὀρύα* (vel *ὀρούα*) Casaubonus, vix recte Musurus *τυρίδιον.* nec sententia nec numeri facile restitui possunt.

ΜΗΝΕΣ (p. 246 Lor)

93

Hesych. *σκυφοκώνακτος· 'Ε. ἐν τοῖς Μησί, τοῖς σκύφοις περιφόρητος.* cf. s. *κωνᾶν· περιδινεῖν.*

94

Hesych. *σκωρνυφίαν· τὸ σκάνδαλον.* ⟨*Ἐπίχαρμος*⟩ *ἐν Μησίν, ἐν δὲ Τριακάσιν τὰ ὁσιώδη χρέα.* non intellego glossam inter *σκώμματα* et *σκῶπες*

ΝΑΣΟΙ (p. 229 Lor)

Νᾶσοι fabula quater memorata, semel (fr. 96) *Ἐ. ἐν τᾶι Ἑορτᾶι καὶ Νάσοις*, ubi duplicem fabulam adgnovit etiam Crusius Philol. vol. suppl. VI 290, *Ἑορτά* et *Νᾶσοι*; vitiosus vero articulus *τᾶι*. fortasse *ἔν τε Ὀρύαι καὶ Νάσοις*. acta fabula post a. 477/76, cf. Boeckh ad Pind. Pyth. II.

95

Zenob. Ath. I 80 *ὁ Καρπάθιος τὸν λαγών*. *Ἐ. μέμνηται ταύτης ἐν Νήσοις. φασὶ δὲ ὅτι οἱ Καρπάθιοι νῆσον οἰκοῦντες ἐπηγάγοντο λαγωούς, οὐκ ἔχοντες ἐν τῆι χώραι.* addit Zenob. vulg. IV 48 *καὶ τοσοῦτοι ἐγένοντο ὥστε τὸν σῖτον καὶ τὰς ἀμπέλους αὐτῶν ὑπ' αὐτῶν βλαβῆναι.* eadem fere de Balearibus Strabo III p. 168, sed ad explicandum proverbium his nihil proficitur. simile est *Καρπάθιος τὸν μάρτυρα*, v. Archilochi fr. 152 B.

96

Athen. IV 160 d *ὅτι κόγχος παρὰ προτέρωι* (i. e. ante Timonem) *μνήμης τετύχηκεν Ἐπιχάρμωι ἐν τᾶι Ἑορτᾶι καὶ Νάσοις* (v. ad fabulae titulum). addi poterat *ἐν Ἥβας Γάμωι* fr. 42, 8. 43.

97

Poll. X 62 *καὶ ξυστίδας δ' αὐτὰς (τὰς στλεγγίδας) ἄν τις εἴποι· ἔν τε γὰρ ταῖς Ἐπιχάρμου Νήσοις εὕρηται τοὔνομα κτλ.*

98

Schol. Pind. Pyth. I 98 *ὅτι δὲ Ἀναξίλαος Λοκροὺς ἠθέλησεν ἄρδην ἀπολέσαι καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ καὶ Ἐ. ἐν Νάσοις.*

ΟΔΥΣΣΕΥΣ ΑΥΤΟΜΟΛΟΣ (p. 247 Lor)

*99

τῆλ' ἀπε]νθὼν τεῖδε θωκησῶ τε καὶ λεξοῦ[μ' ὅπως
πιστά κ' ε]ἴμειν ταῦτα καὶ τοῖς δεξιωτέροι[ς δοκῆι.
'τοῖς θεοῖς] ἐμὶν δοκεῖτε πάγχυ καὶ κατὰ τρόπ[ον
καὶ ἐοικό]τως ἐπεύξασθ', αἴ τις ἐνθυμεῖν γ[α λῆι,
ὅσσ' ἐγών]γ' ὤφειλον ἐνθ[ὼ]ν ὕσπερ ἐκελή[σασθ' ἐμὲ
τῶν παρ' ὑμέ]ων ἀγαθικῶν κακὰ προτιμάσαι θ' [ἅμα
ἅμα τε κίν]δυνον τελέσσαι καὶ κλέος θεῖον [λαβεῖν,
πολεμίω]ν μολὼν ἐς ἄστυ, πάντα δ' εὖ σαφα[νέως
πυθόμε]νος δίοις τ' Ἀχαιοῖς παιδί τ' Ἀτρέος φί[λωι
ἄψ ἀπαγγ]εῖλαι τὰ τηνεῖ καὐτὸς ἀσκηθὴς [μολεῖν.'

decem versus una cum scholiis in charta ex Aegypto adlata papyracea scriptos ed. Gomperz Pap. Erzherz. Rainer V 1, qui huic Epicharmi fabulae tribuit. cf. Blass Ann. Fleckeis. 1889 p. 257, qui scholia adscripta sic fere legit:

πορρω καθεδοῦμαι καὶ προσποιήσομαι πάντα διαπεπρᾶχθαι et [*τὸ δε*]*ξ*(*ιω*)*τ*(*έ-ροις*) *παρὰ προσδοκίαν, ὥσεὶ ἔλεγε τοῖς* [*ἀμαθεσ*]*τάτοις* et *πάλιν πρὸς τοὺς τραγικοὺς λέγεται, ἐπεὶ ἐδόκουν ἐκεῖνοι* . . . et . . *δ' παραλέλειπται στιχίδια, δι'* [*ὧν*] *ἡ συνάρτησις* . . . et . . *τιμ' τῶι Ἀριστοξένωι προσέχειν, ἀκηκοέναι δ'* . . . et . . . *ομενο*(*ς*) *ἀναστρέφειν* . . . *ὤφειλον· ἤδη τις λόγος ελ* . . . et . . *ει τοιοῦτον· μέτριον ἢ ἀνθρώπινον, πρὸς ὃ ἀντι*[*λέγει* . . ., quae non omnia pertinent ad traditos decem versus.

1 init. suppl. Gomperz 4 in. suppl. Blass, extr. Gomp. 5 ΕΝΘῈ//Ν pap. i. e. *ἐνθὲν* ex *ἐνθεῖν* correctum, fort. recte, ut infinitivus pendeat a verbo *ἐκελήσασθε* 7 *λαβεῖν* Gomp. 8 *σαφανέως* Blass 9 suppl. Gomp. 10 suppl. Blass.

Ulixes explorandi causa Troiam missus metu praepeditus proficisci noluit. iam in media fabula solus in scaena sedens meditari videtur quam apud Achaeos habiturus est orationem. sermonis epici imitatio manifesta.

100 (71 Ahr)

δέλφακά τε τῶν γειτόνων
τοῖς Ἐλευσινίοις φυλάσσων δαιμονίως ἀπώλεσα,
οὐχ ἑκών· καὶ ταῦτα δή με συμβολατεύειν ἔφα
τοῖς Ἀχαιοῖσιν προδιδόμειν τ' ὤμνυέ με τὸν δέλφακα.

Athen. IX 374 de *δέλφαξ. Ἐ. τὸν ἄρρενα χοῖρον οὕτως καλεῖ ἐν Ὀδυσσεῖ Αὐτομόλωι 'δέλφακά τε . . δέλφακα'*. Et. genuin. (Et. M. 255, 3) *δέλφαξ· ὁ γαλαθηνὸς χοῖρος. Ἐπίχαρμος 'δέλφακά τε . . φυλάσσω'.* ad v. 3 Hesych. *συμβολατεύειν· συναλλακτεύειν.*

2 *ἐλευσίνοις* Ath. fort. recte *ἀπώλεσας*: corr. Petitus 3 *ἔφη* et 4 *προδιδόμην* Ath.

101 (72 Ahr)

ἁ δ' Ἁσυχία χαρίεσσα γυνά,
καὶ Σωφροσύνας πλατίον οἰκεῖ.

Stob. fl. 58, 7 *Ἐπιχάρμου ἐξ Αὐτομόλου.* *ἡ δ'* Stob.

102 (73 Ahr)

ποτιφόριμον τὸ τέμαχος ἦς,
ὑπομελανδρυῶδες . .

Athen. III 121 b *οἱ δὲ λεγόμενοι μελανδρύαι, ὧν καὶ Ἐ. μνημονεύει ἐν Αὐτομόλωι Ὀδυσσεῖ οὕτως 'ποτιφ . . ὑπομελ.' μέλανδρυς δὲ τῶν μεγίστων θύννων εἶδός ἐστιν, ὡς Πάμφιλος ἐν τοῖς Περὶ ὀνομάτων παρίστησιν, καὶ ἐστὶ τὰ τεμάχη αὐτοῦ λιπαρώτερα*, cf. VII 315 d. Hesych. *ὑπομαλανδριῶδες· εἶδός τι ταρίχου.*

103

Antiatt. Bekk. 95, 27 *ἐνεδρεία ἀντὶ τοῦ ἐνέδρα. Ἐ. Ὀδυσσεῖ Αὐτο-μόλωι*

104

Poll. IX 41. 42 ἐκάλουν δὲ τὸ διδασκαλεῖον καὶ χορόν, ὁπότε καὶ τον διδάσκαλον χορηγὸν καὶ τὸ διδάσκειν χορηγεῖν, καὶ μάλιστα οἱ Δωριεῖς, ὡς Ἐ. ἐν Ὀδυσσεῖ Αὐτομόλωι. pro χορόν scribendum χορηγεῖον, v. ad fr. 13.

ΟΔΥΣΣΕΥΣ ΝΑΥΑΓΟΣ (p. 248 Lor)

105

Athen. XIV 619 ab Δίομος δ' ἦν βουκόλος Σικελιώτης ὁ πρῶτος εὑρὼν τὸ εἶδος (i. e. τὸν βουκολιασμόν). μνημονεύει δ' αὐτοῦ Ἐ. ἐν Ἀλκυονεῖ (fr. 4) καὶ ἐν Ὀδυσσεῖ Ναυαγῶι.

106

Poll. X 134 ὀρθίαξ δὲ τὸ κάτω τοῦ ἱστοῦ καλεῖται, ὡς τὸ ἄνω καρχήσιον. καὶ ἔστι τὸ ὀρθίαξ ἐν Ἐπιχάρμου Ὀδυσσεῖ (ὀδυστὶ C, omis. rell. cf. Bethe Goett. Nachr. 1895 p. 329) Ναυαγῶι. Hesych. ὀρθίας· ἱστὸς νεώς.
v. praeterea fr. 172. 173.

ΟΔΥΣΣΕΥΣ sive *ΑΥΤΟΜΟΛΟΣ* sive *ΝΑΥΑΓΟΣ* (p. 248 Lor)

107 (74 Ahr)

Et. Orion. 139, 1 ῥῆγος τὸ βαπτὸν στρῶμα (τὸ πορφυροῦν περιβόλαιον Et. M. 703, 21). ῥέξαι γὰρ τὸ βάψαι (καὶ οἱονεὶ μεταποιῆσαι add. Et. M) . . καὶ ῥηγεῖς ἔλεγον τοὺς βαφεῖς οἱ παλαιοὶ (καὶ ῥέγος τὸ βάμμα add. Et. M). Ἐ. Ὀδυσσεῖ

ἀλλὰ καὶ ῥέζει τι χρῶμα.

ἀντὶ τοῦ βάπτει. Phot. ῥέξαι· ποιῆσαι, πρᾶξαι, Ἀθηναῖοι δὲ θῦσαι, παρ' Ἐπιχάρμωι τὸ βλάψαι (l. βάψαι). Hesych. ῥέξει· πράξει, θύσει, παρασκευάσει, ἑτοιμάσει, ξέσει. dubito de tingendi significatu, nec sustulit dubitationes Meinekius Iahnii ann. 1863 p. 388.
ῥέξει legerat fort. Hesychius.

108

Antiatt. Bekk. 82, 16 ἀνυπόδετος· Ἐ. Ὀδυσσεῖ.

ΟΡΥΑ sive *ΟΡΟΥΑ* (p. 248 Lor)

Athen. III 94 f χορδῶν τε μέμνηται Ἐπίχαρμος, ἃς ὀρύας ὀνομάζει (cf. IX 366 b), ἐπιγράψας τι καὶ τῶν δραμάτων Ὀρύαν. Hesych. ὀρούα· χορδή, καὶ σύντριμμα πολιτικόν (?), εἰς ὃ Ἐπιχάρμου δρᾶμα. cf. Hesych. ὀρύα. Theogn. p. 106 (cf. An. Bekk. p. 1382) ἰγνύα ὀρύα. Ἀρίσταρχος συστέλλει τὸ ᾱ καὶ ἐκτείνει τὸ ῡ καὶ προπαροξύνει ἐναλλαγὴν τόνου ⟨καὶ χρόνου Bekk⟩ πεποιηκώς, ὡς φησὶν Ἡρωιδιανός. Lehrs Arist.[2] p. 302.
nihil superest, sed v. ad Νᾶσοι fabulae titulum.

ΠΕΡΙΑΛΛΟΣ (p. 249 Lor)

hominis nomen proprium videtur, certe procul habenda glossa Hesychii *περίαλλος· τὸ ἰσχίον,* de qua v. Meinekius ad Alciphr. p. 107.

109 (75 Ahr)

Athen. IV c. 81 p. 183 c *τῶν δὲ παριαμβίδων Ἐ. ἐν Περιάλλωι μνημονεύει οὕτως*

Σεμέλα δὲ χορεύει,
καὶ ὑπαυλεῖ σφιν σοφὸς κιθάραι παριαμβίδας· ἃ δὲ γεγάθει
πυκινῶν κρεγμῶν ἀκροαζομένα.

superest scholium Hesych. *παριαμβίδες· Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτάς φησι πεποιῆσθαι, ἅς οἱ κιθαρωιδοὶ ἄιδουσιν.* Phot. *παρίαμβοι καὶ παριαμβίδες καὶ ἴαμβοι· κιθαρωιδικοὶ νόμοι οἷς προσηύλουν,* et similiter Poll. IV 83. cf. Hesych. *ἰαμβαυλεῖν.* Bergk opusc. II 272.

2 *καὶ ὑπαλισφιν* codex: *ὑπαυλεῖ* Schweigh, tum nomen requiritur tibicinis citharoedo (ipsine Baccho?) succinentis.

110 (20 Ahr)

Athen. IV 139 b *Ἐ. γοῦν ἐν Ἐλπίδι φησὶν*

ἐκάλεσε γάρ τύ τις
ἐπ' αἶκλον ἀέκων· τὺ δὲ ἑκὼν ὤιχεο τρέχων.

τὰ αὐτὰ εἴρηκε καὶ ἐν Περιάλλωι. v. ad fr. 37. incertum num eisdem plane verbis in utraque fabula poeta usus sit.

ΠΕΡΣΑΙ (p. 249 Lor)

111 (76 Ahr)

Poll. IX 92 *ἡ δὲ τῶν πολλῶν καὶ ἰδιωτῶν χρῆσις* [*τὸν*] *χαλκὸν τὸ ἀργύριον λέγει, οἷον 'οὐκ ἔχω χαλκόν' καὶ 'ὀφείλω χαλκόν'. εἴρηται δὲ καὶ τοῦτο* (fort. *τοῦτο καὶ*) *ἐν Ἐπιχάρμου Πέρσαις*

χρυσὸν καὶ χαλκὸν ὀφείλων.

112

Epaphroditus Et. gen. (Et. M. 155, 35) *ἀσκωλιάζω . . εἴρηται παρὰ τὸν σκῶλον, ὅ ἐστι σκόλοπα, τὸ ἑνὶ ποδὶ ἅλλεσθαι. ὅπερ Ἐ. ἐν Πέρσαις σκωλοβατίζειν φησίν.*

ΠΙΘΩΝ (p. 249 Lor)

πίθων i. q. *πίθηκος*, cf. schol. Pind. Pyth. II 131.

113 (77 Ahr)

ἢ θύλακον βόειον ἢ κόιν φέρει

Poll. X 179 *εἴη δ' ἂν καὶ κόιξ ἕν τι τῶν πλεγμάτων, ὃν οἱ μὲν Δωριεῖς κόιν καλοῦσιν, ὡς Ἐ. Πίθωνι 'ἢ .. κωρυκίδα', οἱ δὲ Ἀττικοὶ κόικα.* cf. Hesych. *κόικες.*

ΠΟΛΙΤΑΙ

v. ad Chrysogoni *Πολιτείαν* quae dicentur.

ΠΥΡΡΑ ΚΑΙ ΠΡΟΜΑΘΕΥΣ
sive *ΔΕΥΚΑΛΙΩΝ* vel *ΛΕΥΚΑΡΙΩΝ* (p. 250 Lor)

Πύρρα καὶ Προμαθεύς (fr. 114. 118) et seorsim *Πύρρα* (fr. 121) et *Προμαθεύς* (fr. 116. 119), denique *Δευκαλίων* (fr. 120) fabula inscripta fertur, aut una aut, quod magis probabile, unius fabulae editiones duae. accedit Et. gen. *Λευκαρίων· οἷον Πύρρα ἢ Λευκαρίων. Λευκαλίων* (Et. M. 561, 54), ubi scribendum videtur *Πύρραν Λευκαρίων*, v. ad fr. 117. non recte Schneider Callim. fr. anon. 130 p. 735. Deucalionem si Leucarionem poeta nominavit, lepide videtur, ut observavit Wilamowitzius, Albulum Rufae uxoris maritum finxisse; mirum vero quod *Πύρρα καὶ Λευκαρίων* fabula inscripta nunquam traditur. *Λευκαρία* Romi mater (Dionys. Halic. I 72 extr.) eodem Graecorum lusu facta est ex Alba.

114 (78 Ahr)

Athen. III 86 a de voc. *τέλλις* vel *τελλίνης* disputans: *Ἐ. ἐν Πύρραι καὶ Προμαθεῖ φησι*

τὰν τέλλιν μάν, τὸν ἀναρίταν θᾶσαι δή, καὶ λεπὰς ὅσσα.

τὰν Schweigh, *τέλλιν μάν* ego (duce Casaubono, qui *τελλίναν*), *τὸν ἀναρίταν* Casaub: *κἄν τις ἑλλήνων τὸν ἀνδρι τἄν* codex Epicharmi forma est *τέλλις* (fr. 43), recentiorum *τελλίνης* (*la tellina* Itali).

*115 (16 Ahr)

Herodian. dict. solit. p. 10, 27 *παρὰ δὲ Δωριεῦσι τρεπομένου τοῦ σ̄ εἰς τ̄ Ποτειδάν, κατ' ὀξεῖαν τάσιν· ἔνθεν γενικὴ παρ' Ἐπιχάρμωι δευτέρωι* (fort. *Λευκαρίωνι*)

τοῦ Ποτειδᾶνος δὲ χρηστὸν υἱὸν ἱπποκάμπιον.

ποσειδᾶνος et *ἱππόκαμπτον* codd: corr. Dindorf. mira Hesychii glossa *ἱππόκαμπτος· στρουθίον τι.*

116 (79 Ahr)

πολλοὶ στατῆρες, ἀποδοτῆρες οὐδαμεῖ.

Et. genuin. (Et. M. 725, 25) *στατῆρες οἱ χρεῶσται, οἷον 'πολλοὶ .. οὐδ.' Ἐπίχαρμος Προμαθεῖ ἐν αυτῶι* (sic B, *ἐν αὐ* with *τ* written above A), quod non expedio, neque expedivit Reitzenstein Ind. l. Rostoch. 1891/92 p. 13.

οὐδαμεῖ scripsi: *οὐδ' ἂν εἷς* AB, *δ' οὐδ' ἂν εἷς* Et. M.

*117 (80 Ahr. fr. inc. 98 Lor)

Et. M. 589, 42 (glossa ab genuino Et. aliena) *μῶ γὰρ καὶ μῶμαι τὸ ζητῶ. Ε. ὁ κωμικὸς*

Πύρραν γα μῶται Λευκαρίων.

similiter Helladius Photii bibl. 531 a 2 *τὸ γὰρ ζητεῖν* (*ζητῶ* Bekk) *Δωριεῖς λέγουσι μῶ* ⟨*καὶ μῶμαι*⟩, *καὶ μῶται τὸ τρίτον πρόσωπον παρ' Ἐπιχάρμωι.*

γε μῶ καὶ Et. *Δευκαλίωνα* Et: primum casum restituit Wilamowitz, quod probari videtur Et. gen. s. *Λευκαρίων· οἷον 'Πύρρα ἢ Λευκαρίων'*, ubi *Πύρραν* scribendum, v. ad titulum fabulae.

118 (81 Ahr)

Poll. X 82 (*μαγίς* mensa sacra) *παρὰ μέντοι Ἐπιχάρμωι ἐν Πύρραι καὶ* (*ἐν πύρραι ἢ* C, *ἐν πυρκαιᾶ* FS) *Προμηθεῖ καὶ κατὰ τὴν ἀνθρωπίνην χρῆσιν εἴρηται*

κύλικα, μαγίδα, λύχνον.

cf. Helladius in Photii bibl. 553 b 10. glossa est Aristophanis Byzantii, cf. Eust. 1761, 34. Poll. VI 83. Strecker Hermae XXVI 277.

*119

Antiatt. Bekk. 85, 24 *βλεν(ν)όν· τὸν νωθῆ καὶ μωρὸν Σώφρων Προμηθεῖ.* aut *Σώφρων* errore scriptum pro *Ἐπίχαρμος* aut excidit Epicharmi nomen. v. Sophronis fr. 43. Hesych. *βλεννόν.*

120

Antiatt. Bekk. 90, 3 *δεούμεθα· ἀντὶ τοῦ δεηθησόμεθα Ἐ. Δευκαλίωνι.*

121

Athen. X 424 d *καὶ Ἐ. δ' ἐν Πύρραι εὐωνέστερον ἔφη.*

*122 (inc. fr. 51 Lor)

Schol. Pind. Ol. IX 68 (de Pyrrha et Deucalione) *καὶ ὁ μὲν Ἐ. ἀπὸ τῶν λάων, τῶν λίθων, λαοὺς τοὺς ὄχλους φησὶν ὠνομάσθαι.* cf. Et. M. 553, 6.

ΣΕΙΡΗΝΕΣ (p. 251 Lor)

eiusdem nominis similisque, ut videtur, argumenti Nicophontis fabula.

*123 (fr. inc. 32 Lor)

λαοὶ τοξοχίτωνες, ἀκούετε Σειρηνάων.

Schol. T Hom. *Τ* 1 *ῥοάων· Βοιώτιος ἡ φωνή. καὶ ἀπὸ τῶν εἰς ες ἀρσενικῶν '"Αρτεμι Κρητάων πότνια τοξοφόρων'. 'λαοὶ .. Σειρηνάων' Ἐπίχαρμος.* in priore versu *Κρηταέων* (potius *Κρηταῶν*) corr. Nauck Herm. XXIV 454, alterum frustra Callimacho potius quam Epicharmo dignum censuerunt. numeri Homerici Sirenis etiam in comoedia apti, *Σειρήνα* forma Italica videtur. sed

124 (82 Ahr)

— πρωὶ μέν γ' ἀτενὲς ἀπ' ἀοῦς ἀφύας ἀπεπυρίζομες
στρογγύλας, καὶ δελφακίνας ὀπτὰ κρέα καὶ πωλύπους,
καὶ γλυκύν γ' ἐπ' ὧν ἐπίομες οἶνον. — οἰβοιβοῖ τάλας.
— περί γα μὰν αἴκλον τί κά τις καὶ λέγοι. — φοῦ τῶν κακῶν.
— ὃ καὶ πάρα τρίγλα τε μία παχεῖα κάμίαι δύο
διατετμαμέναι μέσαι, φάσσαι τε τοσσαῦται παρῆν
σκορπίοι τε.

Athen. VII 277 f μνημονεύει δ' αὐτῶν (τῶν ἀμιῶν) . . καὶ Ἐ. δ' ἐν Σειρῆσιν 'πρωὶ . . σκορπίοι τε'.

1 ἀποπυρίζομες: corr. Schweigh. 4 περὶ σᾶμα με καλοῦσα κατίσκα λεγοι: correxi; ientaculo adiungitur cena 5 ὃ καὶ corruptum τρίγλας τε καὶ παχηα: Ahr. 6 διατεταγμαμέναι: Meinekius τοσαῦται.

ΣΚΙΡΩΝ (p. 251 Lor)

125 (84 Ahr)

— τίς ἐστι μάτηρ; — Σακίς. — ἀλλὰ τίς πατήρ;
— Σακίς. — τίς ἀδελφεὸς δέ; — Σακίς.

Schol. Arist. Pac. 185 τοῦτο (triplex illud Trygaei μιαρώτατος) . . τὸ ἀληθὲς τὴν ἀφορμὴν ἐκ τοῦ Σκίρωνος παρ' Ἐπιχάρμου ἔχει, ἐπεὶ κἀκεῖνος πεποίηκε τὸν φορμὸν ἐρωτηθέντα 'τίς ἐστι μήτηρ' ἀποκρινόμενον ὅτι 'Σηκίς', καὶ 'τίς ἐστι πατήρ' εἰπόντα 'Σηκίς', καὶ 'τίς ἀδελφός' ὁμοίως 'Σηκίς'. ἀλλ' ἐκεῖνος μὲν ἔδοξε πρὸς τὸ ἐρωτώμενον καὶ τὸ ἑξῆς (fort. κατὰ τὸ συγγενὲς) ἀποκρίνεσθαι· ἔστι γάρ τις τοῖς φορμοῖς συγγένεια πρὸς τὰς σηκίδας, ἐνταῦθα δὲ οὐκέτι κατὰ τὸ συγγενὲς οὗτος ἀπεκρίθη. versus variis modis restitui possunt. ceterum Epicharmi mater Σηκίς (apud Suidam) hinc nata videtur.

126 (83 Ahr)

Poll. X 86 καὶ λεκίδα δὲ Ἐ. εἴρηκεν ἐν Ἥβας Γάμωι (fr. 70), ἐν δὲ Σκίρωνι καὶ πηλίνων λεκίς. poeta argenteis aeneis aliis vasibus memoratis addidisse videtur τῶν δὲ παλίνων λεκίς.

ΣΦΙΓΞ (p. 252 Lor)

127 (86 Ahr)

Herodian. apud Steph. B p. 694 M Χιτώνη· οὕτως ἡ Ἄρτεμις λέγεται, καὶ Χιτωνία, ὡς . . Ἐ. ἐν Σφιγγί

καὶ τὸ τᾶς Χιτωνέας αὐλησάτω τίς μοι μέλος.

τῆς χιτωνόης R τῆς χιτωνίης AV, τᾶς Χιτωνίας Ahrens. Athen. XIV 629 e παρὰ δὲ Συρακοσίοις καὶ Χιτωνέας Ἀρτέμιδος ὄρχησίς τις ἔστι καὶ αὔλησις.

128 (85 Ahr)

Athen. III 76 c τῶν δ' ἐρινῶν σύκων (μνημονεύει) Ἐ. ἐν Σφιγγί

ἀλλ᾽ οὐχ ὁμοῖα ⟨τάδε⟩ γ᾽ ἐρινοῖς οὐδαμῶς.

τάδε adieci, *ταῦτ᾽ ἐρινοῖς* praeivit Bergk.

ΤΡΙΑΚΑΔΕΣ (p. 252 Lor)

dubium utrum ad Hecatae sacra (Plut. prov. Alex. 8 ed. Crusius, v. eiusdem comment. p. 20) pertineat fabula an ad Syracusanam rem publicam, cf. Hesych. *ἐτριέκοψεν· εἰς τριακάδας ἐνέγραψε. Σικελοί.* ubi si *ἐτριάκαξεν* emendaveris, potest ipsum Epicharmi verbum fuisse.

129

Hesych. *σκωρνυφίαν· τὸ σκάνδαλον. ⟨Ἐπίχαρμος⟩ ἐν Μησίν* (fr. 94). *ἐν δὲ Τριακάσιν τὰ ὀσιώδη χρέα.* ubi scribendum videtur *τὰ ὀστώδη κρέα*, quibus frustra quis dentes impingit.

ΤΡΩΕΣ (p. 253 Lor)

130 (88 Ahr)

Macrob. V 20, 5 Gargana et oppidum et montem esse demonstraturus: *et Epicharmus . . in fabula quae inscribitur Troes ita posuit*

Ζεὺς ἄναξ, ἀν᾽ ἄκρα ναίων Γαργάρων ἀγάννιφα.

ἀν᾽ ἄκρα scripsi: *αναadαν* cod; cf. Hom. Ξ 352 *εὗδε πατὴρ ἀνὰ Γαργάρωι ἄκρωι*, quae verba et ipsa citavit Macrobius *Γαργάρων* Meinekius: *γαργαρα* cod.

131 (87 Ahr)

Zenob. Ath. III 131, vulg. IV 7 (Pseudoplut. I 93) '*ἐκ παντὸς ξύλου κύφων γένοιτ᾽ ἄν᾽ . . μέμνηται δ᾽ αὐτῆς Ἐ. ἐν Τρωσίν.* prov. Coisl. 168 (I 84 adn. ed. Gott) *καὶ ἄλλη 'ἐκ παντὸς ξύλου κλῶιος γένοιτ᾽ ἂν καὶ θεός'. οἱ Δωριεῖς τὸν κύφωνα κλῶιον λέγουσι* (immo *κλοιόν*, cf. Hesych. s. v). poterat poeta talia scribere

ἐκ παντὸς ξύλου
κλοιός τε κα γένοιτο κὴκ τωὐτοῦ θεός.

ΦΙΛΟΚΤΗΤΑΣ (p. 253 Lor)

132 (90 Ahr)

Athen. XIV 628 b *Ἐ. ἐν Φιλοκτήτηι ἔφη*

οὐκ ἔστι διθύραμβος ὄκχ᾽ ὕδωρ πίηις.

οὐχ ὕδωρ A: corr. Casaub.

133 (91 Ahr)

Poll. X 71 *Ἐ. μέντοι ἐν Φιλοκλίνηι* (em. Seber) *διακρίνειν ἔοικε κάδον καὶ ἀμφορέα, εἰπὼν*

οὔτ᾽ ἐν κάδωι δηλοίμην οὔτ᾽ ἐν ἀμφορεῖ.

134 (89 Ahr)

Athen. IX 371 f μνημονεύει τῶν γηθυλλίδων καὶ 'Ε. ἐν Φιλοκτήτηι οὕτως

ἐν δὲ σκόροδα δύο καὶ γαθυλλίδες δύο.

versus restitutio incerta.

ΧΟΡΕΥΟΝΤΕΣ sive *ΧΟΡΕΥΤΑΙ* (p. 254 Lor)

Hephaest. p. 49, 2 παρ' 'Επιχάρμωι, ὃς καὶ ὅλα δύο δράματα τούτωι τῶι μέτρωι (i. e. tetrametro anapaestico catalectico) γέγραφε τούς τε Χορεύοντας καὶ τὸν 'Επινίκιον. potest fieri ut olim scriptum fuerit τούς τε Χορευτάς.

135

Herodian. dict. solit. p. 12, 2 τὰ εἰς λων λήγοντα ὀνόματα εἰ διπλασιάζοι τὸ λ, οὐ θέλει ὑπὲρ δύο συλλαβὰς εἶναι . . Σίλλων, 'Ε. Χορευταῖς. dicitur fortasse Sillax Rheginus pictor, v. infra fr. 163.

ΧΥΤΡΑΙ (p. 254 Lor)

de fabulae argumento ingeniosam coniecturam fecit Crusius Philol. vol. suppl. VI 293. adhibito simul proverbio quod est κεραμέως πλοῦτος (ἐπὶ τῶν σαθρῶν καὶ εὐθραύστων Pseudodiogen. V 97) figulum fingit magnas divitias somniantem, tum ollis diffractis omni spe crudeliter deiectum.

136. 137 (92. 93 Ahr)

136 ἀλλ' ὅμως καλαὶ καὶ πῖοι ἄρνες εὑρησοῦντί μοι
δέκα νόμους· πωλατιᾶς γάρ ἐντι τᾶς ματρός . . .

137 κᾶρυξ ἰὼν
εὐθὺς πρία μοι δέκα νόμων μόσχον καλάν.

Poll. IX 79. 80 ὁ δὲ νοῦμμος δοκεῖ μὲν εἶναι 'Ρωμαίων, τοὔνομα τοῦ νομίσματος, ἐστὶ δὲ 'Ελληνικὸν καὶ (fort. καὶ 'Ελλ.) τῶν ἐν 'Ιταλίαι καὶ Σικελίαι Δωριέων. 'Ε. τε γὰρ ἐν ταῖς Χύτραις φησὶν 'ἀλλ' .. ματρός' (136), καὶ πάλιν 'κᾶρυξ . . καλάν' (137)

136, 1 καλαὶ καὶ codd, ὁ καῖαι καὶ cod. Salam. fort. μάλ' αἴδε 1. 2 εὑρήσουσι δέ μοι καὶ νούμμους: μοι δέκα Bentley, reliqua corr. Ahrens 2 δέκα νόμους πωλάν· καλᾶς γὰρ Bergk (τοίας γὰρ Ahr).

137, 2 πρίω et νούμμων et καλήν codd.

E FABVLIS INCERTIS

138

Antiatt. Bekk. 113, 14 ῥαπίδα· τὴν βελόνην 'Ε. v. ad fr. 51.

139 (167 Ahr. 99 Lor)

An. Bekk. 417, 6 in docta de Apaturiis disputatione (eadem brevior in

schol. Plat. Tim. p. 21 b. schol. Ar. Ach. 146. Pac. 890. Et. M. 98, 56): *ἡ δὲ δευτέρα (τῶν Ἀπατουρίων ἡμέρα), ἐν ἧι θύουσιν, ἀνάρυσις· τὸ γὰρ θύειν ἀναρύειν καὶ τὸ θῦμα ἀνάρυμα ἐλέγετο, ἐπεὶ οἱ ἀρχαῖοι ἀνακλῶντες τὰ ἱερεῖα καὶ ἄνω ἀναρύοντες ἔθυον . . καὶ Ἐπίχαρμός δέ πού φησιν ʽθωσούμεθα ὁ Ζεὺς ἐναρύει'*, quae verba alieno loco tradita (p. 417, 20) huc revocanda sunt. rectius reliqui auctores *ἀναρρύειν ἀνάρρυσις* scribunt. adde Eust. 1159, 56 *Παυσανίας δὲ καὶ ἐπὶ θυσίας κεῖσθαι τὴν λέξιν λέγει* (i. e. *τὸ ῥύειν*), *ὅθεν καὶ ἀναρρύειν φησὶ τὸ θύειν, καὶ ἡ θυσία ἀνάρρυσις.* Hesych. *ἐπαναρύεται· μετὰ κρίσιν* (in Areopago) *θύει, κρέα δίδωσιν.* apud Epicharmum deorum aliquis (Herculem puta) laetabundus exclamabat

θωσούμεθα·
ὁ Ζεὺς ἀναρρύει.

140 (168 Ahr. 62 Lor)

An. Ox. Cram. I 85, 20 *ἀγλευκής . . Ἐπίχαρμος*

ἀγλευκές ἐσθ' ἄνθρωπος.

Hesych. *ἀγλευκής· ἀηδής.*

141 (127 Lor)

An. Ox. Cram. I 224, 22 *κλείω . . κλήιω . . καὶ παρ' Ἐπιχάρμωι κατακέκλαινται* (*κατὰ κέκλανται* cod), *τροπῆι τοῦ η εἰς ᾱ.*

142 (114 Lor)

An. Ox. Cram. IV 273, 8 *γίνεται δὲ τὰ ὑποκοριστικὰ ἢ διὰ ⟨τὸ⟩ γελοῖον, ὡς τὸ παρὰ Ἐπιχάρμωι Πριαμιλλύδριον.* cf. Theognosti Can. An. Ox. Cram. II 126, 27. schol. Dion. Thr. p. 856, 1 *ἢ τοῦ γελοίου χάριν* (*λαμβάνεται ὁ ὑποκορισμός*), *ὡς τὸ Πριαμύλλιον ὁ Πρίαμος.* ex Ulixe Transfuga vel e Troianis. falso Kock Com. III 640 fr. 1373.

143 (92 Lor)

An. Par. Cram. IV 46, 3 *κλίβανον λέγουσι, καὶ εὕρηται ἡ χρῆσις παρὰ Ἐπιχάρμωι.* nisi spectant haec ad fr. 52.

144 (123. 125 Lor)

Apollon. de pron. p. 95 a *ἡ ἐμοῦς κοινὴ οὖσα Συρακοσίων καὶ Βοιωτῶν, καθὸ καὶ Κόριννα καὶ Ἐ. ἐχρήσαντο . . ἔτι καὶ ἐμέος οἱ αὐτοὶ Δωριεῖς καὶ ἐν συναλοιφῆι ἐμεῦς. αἱ χρήσεις παρ' Ἐπιχάρμωι.* p. 106 b *ἡ ἐμέ . . παρὰ Δωριεῦσι μετὰ τοῦ ῑ ἐμεί, ἧι συνεχῶς Ἐ. χρῆται.*

145 (157 Ahr. 124 Lor)

Apollon. de pron. p. 96 c (*τεοῦ*) *Ἐπίχαρμος παιδὶ τεοῦ.*

146 (48 Lor)

λοῦνται τῆς τῶν ὀφειλόντων σωτηρίας, οὕτω καὶ τοὺς εὐεργετήσαντας βούλεσθαι εἶναι τοὺς παθόντας ὡς κομιουμένους τὰς χάριτας, τοῖς δ' οὐκ εἶναι ἐπιμελὲς τὸ ἀνταποδοῦναι. Ἐ. μὲν οὖν τάχ' ἂν φαίη ταῦτα λέγειν αὐτοὺς

ἐκ πονηροῦ θαμένους·

ἔοικε δ' ἀνθρωπικῶι. θεωμένους traditum.

147 (124 Ahr. 49 Lor)

τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών.

Arist. Rhet. III p. 1410 b 3 εἰσὶ δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον καὶ Ἐ. ἐποίει 'τόκα . . ἐγών'. Demetr. de eloc. 24 ἔστι δὲ κῶλα ἃ μὴ ἀντικείμενα ἐμφαίνει τινὰ ἀντίθεσιν διὰ τὸ τῶι σχήματι ἀντιθέτως γεγράφθαι, καθάπερ τὸ παρ' Ἐπιχάρμωι τῶι ποιητῆι πεπαιγμένον ὅτι 'τόκα . . ἐγών'. ἀλλ' οὗτος μὲν ἴσως γελωτοποιῶν οὕτως ἀντέθηκεν καὶ ἅμα σκώπτων τοὺς ῥήτορας.

ἐν τήνοις Dem. non recte.

148 (99 Ahr, cf. fr. 122. 44. 45 Lor)

ἐκ μὲν θυσίας θοῖνα,
ἐκ δὲ θοίνας πόσις ἐγένετο. — χαρίεν, ὥς γ' ἐμὶν ⟨δοκεῖ⟩.
— ἐκ δὲ πόσιος μῶκος, ἐκ μώκου δ' ἐγένεθ' ὑανία,
ἐκ δ' ὑανίας ⟨δίκα . ., ἐκ δίκας δὲ κατα⟩δίκα,
ἐκ δὲ καταδίκας πέδαι τε καὶ σφαλὸς καὶ ζαμία.

Athen. II 36 c d Ἐ. δέ φησιν 'ἐκ μὲν . . ζαμία'. huc rettulit Meinekius Aristot. Gen. an. p. 724 a 28 ἔτι δὲ παρὰ ταῦτα, ὡς Ἐ. ποιεῖ τὴν ἐποικοδόμησιν, ἐκ τῆς διαβολῆς ἡ λοιδορία, ἐκ δὲ ταύτης ἡ μάχη, item Rhet. I p. 1365 a 10 καὶ τὸ συντιθέναι δὲ καὶ ἐποικοδομεῖν ὥσπερ Ἐ. nam ὑανία ab Hesychio explicatur τύρβη vel μάχη, et μῶκος ab Simplicio (ad Epict. man. IV p. 222 Schw) μυκτηρισμός. concedendum sane non satis accuratam Epicharmeae sententiae memoriam Aristotelem servasse, si quidem διαβολή et λοιδορία ex uno vocabulo μῶκος nata videntur.

1 θοίνη CE; suppl. velut ⟨ἄγομεν γὰρ θεοῖσι θυσίαν⟩· ἐκ δὲ θυσίας θοῖνα ⟨δή⟩ κτλ. 2 θοίνης CE ἐμὶν Mein: ἐμοὶ δοκεῖ suppl. Dindorf 3 κῶμος et κώμου CE: corr. Mein. ἐγένετο θυανία CE: Casaub. Dobr. 4 suppl. HStephanus, δίκα τάχ' Ahr, praestat fort. δίκα μάλ' 5 σφαλὸς Bochart: σφάκελλος CE, cf. Hesych. s. v. ζημία CE.

149 (100 Ahr. 26 Lor)

— τί δὲ τόδ' ἐστί; — δηλαδὴ τρίπους. — τί μὰν ἔχει πόδας
τέτορας; οὐκ ἔστιν τρίπους, ἀλλ' ⟨ἐστὶν⟩ οἶμαι τετράπους.
— ἔστιν ὄνομ' αὐτῶι τρίπους, τέτοράς γα μὰν ἔχει πόδας.
— Οἰδίπους τοίνυν ποτ' ἦν αἴνιγμά τοι νοεῖς.

Athen. II 49 c Ἐπίχαρμος 'τί δε . . νοεῖς'.

1 τόδ' Blaydes: τάδ' CE τί μὰν Eust. 1398, 19: τίμανον CE, poterat

poeta *τί μάν; ἔχων* (vel *ὅς ἔχει*) *πόδας τ. οὐκ ἐστιν κτλ.* 2 *τέτταρας ἐστὶν* suppl. Dindorf, praestat fort. *μᾶλλον δέ γ' οἶμαι* 3 *ἔστιν* Wilamowitz: *ἐστὶ δ'* CE *ὄνυμ'* Ahr. *τέττορας* C *τέτταρας* E 4 corrigendum aut in hanc sententiam *isti quidem hercle orationi Oedipo opust coniectore* (Plaut. Poen. 443) aut sic *Οἰδίπου 'στί νυν τὸ τῆν' αἴνιγμα· τί νοεῖς;*

150 (101 Ahr. 71 Lor)

Athen. II 52 a b *οἱ Ἀττικοὶ καὶ οἱ ἄλλοι συγγραφεῖς κοινῶς πάντα τὰ ἀκρόδρυα κάρυα λέγουσιν, Ἐ. δὲ κατ' ἐξοχὴν ὡς ἡμεῖς*

καπυρὰ τρώγων κάρυ', ἀμυγδάλας . .

καπυροτρώγων (sive *-γειν* significat compendium): corr. Dindorf.

151 (102 Ahr. 72 Lor)

Athen. II 56 a *Ἐπίχαρμος*

⟨καὶ⟩ φασήλους φῶγε θᾶσσον, αἴ χ' ὁ Διόνυσος φιλῆι.

καὶ add. Toup *φλέηι* Bergk 'si vitis florescat', non recte; fort. *φλύηι* 'effervescat', nam ebrietatis remedium fruges tostae.

152 (103 Ahr. 73 Lor)

Athen. II 57 d *ὤεα δ' ἔφη Ἐ.*

ὤεα χανὸς κἀλεκτορίδων πετεηνῶν.

fort. *χανῶν.*

153 (104 Ahr. 54 Lor)

Athen. II 58 d (*μολόχη* pro *μαλάχη*) *Ἐπίχαρμος*

πραύτερος ἐγών γα μολόχας.

154 (105 Ahr. 55 Lor)

Athen. II 59 c *Ἐπίχαρμος*

ὑγιώτερόν θήν ἐστι κολοκύντας πολύ.

ὑγιώστερον E suprascr. *ε*, *ὑγιέστερον* C: correxi, cf. Sophr. fr. 34. *τ' ἦν ἔτι*: corr. Mein. Grotius v. Zenob. vulg. VI 27.

155 (106 Ahr. 56 Lor)

Athen. II 60 e f *φύονται δ' οἱ μύκητες γηγενεῖς καὶ εἰσὶν αὐτῶν ἐδώδιμοι ὀλίγοι· οἱ γὰρ πολλοὶ ἀποπνίγουσιν. διὸ καὶ Ἐ. παίζων ἔφη*

οἷον αἱ μύκαι ἄρ' ἐξεσκληκότες πνιξεῖσθέ ⟨με⟩.

γὰρ Bergk (pro *ἄρ'*) *ἐπεσκληκότες*: corr. Naeke, possis *κατεξεσκληκότες* *με* add. Bergk.

156 (77 Ahr)

157 (108 Ahr. 75 Lor)

Athen. II 64 f *Συρακόσιοι δὲ τὰς κίχλας κιχήλας λέγουσιν. Ἐπίχαρμος*

τάς τ' ἐλαιοφιλοφάγους κιχήλας.

Hesych. *κιχῆλαι* scrib. *κιχῆλας*, si versus exordium servatum putes.

158 (109 Ahr. 76 Lor)

Athen. II 68 f *Ἐπίχαρμος*

θρίδακος ἀπολελεμμένας τὸν καυλόν.

ἀπολελεμμένου C.

159. 160. 161 (110. 111. 112. 113 Ahr. 78—81 Lor)

159 **μακωνίδες,**
μάραθα, τραχέες τε κάκτοι, τοὶ σὺν ἄλλοις μὲν φαγεῖν
ἐντὶ λαχάνοις εἷς τοπιον, αἴ κα τις ἐκτρίψας καλῶς
παρατιθῆι νιν, ἁδύς ἐστ'· αὐτὸς δ' ἐπ' αὐτοῦ χαιρέτω.

160 **θρίδακας, ἐλάταν, σχῖνον . . . ῥαφανίδας, κάκτους . . .**

161 **ὃ δέ τις ἄγροθεν ἔοικε μάραθα καὶ κάκτους φέρειν,**
ἴφυον, λάπαθον, ὀτόστυλλον, σκόλιον, σερίδ', ἀτράκτυλον,
πτέριν, κάκτον ὀνόπορδον.

Athen. II 70 f *σαφῶς δ' ἡμᾶς διδάσκει καὶ Ἐ. μετὰ τῶν ἐδωδίμων λαχάνων καὶ τὴν κάκτον καταλέγων οὕτως 'μήκων μάραθα . . χαιρέτω'* (159). *καὶ πάλιν 'θρίδακας . . κάκτους'* (160). *καὶ πάλιν 'ὃ δέ . . ὀνόπορδον'* (161).

159, 1 *μακωνίδες* Ahr: *μήκων* CE 2 *μάραθοι* et *τοῖς ἄλλοις* CE: corr. Dindorf 3 fort. *εὔστομοι· καἴ κα τις*, nam hanc *εὔστομος* adiectivi significationem Epicharmo recentiorem fuisse minime constat. e plurali *κάκτοι* quod singulare repetitur *κάκτος (νιν)*, neminem offendet 4 *ἐφ' αὐτοῦ* E

161, 2 Hesych. *λάπαθον· λάχανον ἄγριον ἐδώδιμον*, idem *σκόλυμος· λάχανον ἄγριον ἀκανθῶδες*, quod vocabulum in medio versu corrupto latere videtur *σερίδα δρακτυλον* CE: distinxi 3 fort. *περδίκιον, κακὸν ὀνόπορδον*, cf. Hesych. *ὀνόπορδον· τὴν ἑλξίνην· ἐστὶ δὲ λάχανον ἄγριον* et *ἑλξίνη· ἡ περδίκειος βοτάνη.*
ad fabulam *Γᾶ καὶ Θάλασσα* referri vult Wilamowitzius.

162 (82 Lor)

Athen. III 119 d *καὶ Ἐ. δ' ἀρσενικῶς εἶπεν ὁ τάριχος*, cf. litt. b.

163 (132 Lor)

Athen. V 210 a b *Πολέμων ἐξηγούμενος διάθεσιν ἐν Φλιοῦντι κατὰ τὴν πολεμάρχειον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐ. καὶ Σιμωνίδης.* v. ad fr. 135.

164 (83 Lor)

κἄγλαοὶ κόκκυγες, οὓς παρσχίζομες
πάντας, ὀπτᾶντες δὲ χἀδύνοντες αὐτοὺς χναύομες.

Athen. VII 309 e f *κόκκυγες* (pisces)· *Ἐ.* '*κἄγλαοὶ . . χναύομες*'. *καὶ Δωρίων δέ φησιν δεῖν αὐτοὺς ὀπτᾶν παρασχίσαντας κατὰ ῥάχιν καὶ παρηδύνειν χλόηι τυρῶι σιλφίωι ἁλὶ ἐλαίωι κτλ.* Dorio Epicharmi verba sine dubio ante oculos habebat; fortasse poeta et ipse condimenta singula quaedam enumerarat.
2 *πάντες*: corr. Casaub. *χἀδύναντες* A *χἠδύνοντες* C *χαύομες* A: corr. C.

165 (115 Ahr. 19 Lor)

Athen. VIII 363 f *ὡς καὶ Ἐ. πού φησιν*

ἀλλὰ καὶ σιγῆν ἀγαθόν, ὄκκα παρέωντι κάρρονες.

παρεόντι: corr. Ahrens. videtur e fabula petitus versus.

166 (116 Ahr. 85 Lor)

Athen. IX 391 d *καὶ Σπεύσιππος δ' ἐν δευτέρωι Ὁμοίων χωρὶς τοῦ σ̄ κῶπας αὐτοὺς ὀνομάζει. Ἐπίχαρμος*

σκῶπας, ἔποπας, γλαῦκας.

fort. *κῶπας* Epicharmus quoque scripsit in secunda vel quarta tetrametri sede.

167 (52 Lor)

Clem. Alex. Protr. II p. 25 P *ἀλλ' αἵ γε πατρίδες αὐτοὺς* (i. e. *τοὺς θεούς*) *καὶ αἱ τέχναι καὶ οἱ βίοι, πρὸς δέ γε καὶ οἱ τάφοι ἀνθρώπους γεγονότας ἐλέγχουσιν. Ἄρης γοῦν . . ὡς μὲν Ἐ. φησιν, Σπαρτιάτης ἦν.* cf. Wentzel *Ἐπικλήσεις* c. 4, 4. dubium num ex fabula hoc sumptum sit.

*168

οἵαπερ ἁ δέσποινα, τοία χἀ κύων.

Clem. Alex. Paed. III 11 p. 296 P *οἵα γὰρ δέσποινα, φασὶν οἱ παροιμιαζόμενοι, τοιάδε χἀ κύων.* adcuratius citatur versus in scholiis Clementis et Platonis Rep. VIII 563, qui ipse *αἱ κύνες*, inquit, *κατὰ τὴν παροιμίαν οἷαίπερ αἱ δέσποιναι γίγνονται.* cf. Cic. ad Att. V 11, 5 et Pseudodiogenian. V 93. doricas formas unus servavit Clemens; Epicharmi versum esse conieci.

169 (162 Ahr. 63 Lor)

Ps. Diogenianus II 47 *ἀγρὸς ἡ πόλις· ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος*

ἀγρὸν τὰν πόλιν ποιεῖς.

τὴν traditur. cf. Crusius Philol. vol. suppl. VI 291.

170 (94 Ahr. 40 Lor)

— *ἀλλ' ἀεὶ τοὶ θεοὶ παρῆσαν χὐπέλιπον οὐ πώποκα,*

— ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
— πῶς δέ κα; μὴ ἔχον γ᾽ ἀπό τινος ἐνθὲν ὅ τι πρᾶτον μόλοι.
— οὐκ ἄρ᾽ ἔμολε πρᾶτον οὐδέν; — οὐδὲ μὰ Δία δεύτερον,
τῶνδε ⟨γ'⟩ ὧν ἁμὲς νὺν ὧδε λέγω μέλλει τάδ᾽ εἶν
αἰ πὸτ ἀριθμόν τις περισσόν, αἰ δὲ λῆις, πὸτ ἄρτιον
ποτθέμειν λῆι ψᾶφον ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν,
ἦ δοκεῖ κά τοί γ᾽ ἔθ᾽ ὡὑτὸς εἶμεν; — οὐκ ἐμίνγα κα.
— οὐδὲ μὰν οὐδ᾽ αἰ ποτὶ μέτρον παχυαῖον ποτθέμειν
λῆι τις ἕτερον μᾶκος ἢ τοῦ πρόσθ᾽ ἐόντος ἀποταμεῖν,
ἔτι χ᾽ ὑπάρχοι κεῖνο τὸ μέτρον; — οὐ γάρ. — ὧδε νῦν ὅρη
καὶ τὸς ἀνθρώπους· ὃ μὲν γὰρ αὔξεθ᾽, ὃ δέ γα μὰν φθίνει,
ἐν μεταλλαγᾶι δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κοὔποκ᾽ ἐν ταὐτῶι μένει,
ἕτερον εἴη κα τόδ᾽ ἤδη τοῦ παρεξεστακότος.
καὶ τὺ δὴ κἠγὼ χθὲς ἄλλοι καὶ νὺν ἄλλοι τελέθομες,
καὖθις ἄλλοι κοὔποχ᾽ ὡὑτοὶ κὰτ τὸν ⟨αὐτὸν αὖ⟩ λόγον.

Diog. Laert. III 12 Ἄλκιμος ἐν τοῖς πρὸς Ἀμύνταν, ἅ ἐστι τέτταρα· ἔνθα καὶ ἐν τῶι πρώτωι φησὶ ταῦτα· φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρμου λέγων· σκεπτέον δέ. ὁ Πλάτων φησὶν αἰσθητὸν μὲν εἶναι τὸ μηδέποτε ἐν τῶι ποιῶι μηδὲ τῶι ποσῶι διαμένον, ἀλλ᾽ ἀεὶ ῥέον καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἄν τις ἀνέληι τὸν ἀριθμόν, τούτων οὔτε ἴσων οὔτε τινῶν οὔτε ποσῶν οὔτε ποιῶν ὄντων. ταῦτα δ᾽ ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε. νοητὸν δ᾽ ἐξ οὗ μηδὲν ἀπογίνεται μηδὲ προσγίνεται. τοῦτο δ᾽ ἐστὶν ἡ τῶν ἀιδίων φύσις, ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι. καὶ μὴν ὅ γε Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν 'ἀλλ᾽ ἀεί .. κατὰ τὸν λόγον'.

1 ἀεί τοι codd. fort. rectius 2 διὰ δὲ codd: corr. Kuehn 4 πῶς δέ κ᾽ ἀμήχανον γ᾽ (γ᾽ om. P, add. P^2) codd: corr. GHermann ἐνθὲν scripsi: μηδὲν codd, εἶμεν GHerm. 6 τῶν δ᾽ .. ὧν P^2 (δ᾽ in litura trium litterarum): corr. GHerm. λέγω P, λέγων reliqui fere: λέγομες, ἀλλὰ ταῖδ ἔχει GHerm, βλέπομες, ἀλλ᾽ ἀεὶ τάδ᾽ ἦς Bergk. at transitur iam ad τὰ αἰσθητά: conieci ἀλλὰ τοὔμπαλιν, nisi forte desinit Epicharmi haec ecloga in λέγομες sequiturque altera, cui Alcimus praemiserit καὶ πάλιν 'αἰ πὸτ . . λόγον' 7 πὸτ ἄρτιον Bergk: τὸν ἄρτιον codd. 8 ποτὲ θέμην P (θέμιν P^2): corr. Ahr. τὰν ὑπάρχουσαν codd: corr. GHerm. 9 κατοῖκ (κ eras. P) καὶ ὁ αὐτος εἰ μὲν P (καὶ om. Q): ὡὑτὸς εἶμεν alii, reliqua ego correxi ἐμιν τάκα codd: corr. GHerm. 10 οὐδ᾽ ἄποτι μέτρον παχὺ ἔον codd: corr. Casaub. ποτ᾽ ἐθέμιν codd: corr. Ahr. 11 λῆι τις στερρὸν (ἕτερον superscr. P^2) μᾶκος P λῆ τις ἕτερον στερὸν μ. G (Laurent. 69, 28), λῆ τις στερρὸν μᾶκος F 12 τῆνο GHerm. 13 τὼς ἀνθρώπους P: corr. Ahr. 16 κάτω δὴ τοῦ P: corr. Cob, fort. εἴη κα τὸ ⟨νῦν⟩ δὴ τοῦ π. 17 κἀγὼ codd. 18 κοὔποχ᾽ αὐτοὶ κατὰ τὸν λόγον codd: corr. et suppl. Cobetus.

huc rettulit Bernays (Op. I 109) Plut. de sera num. vind. p. 559 b μᾶλλον δ᾽ ὅλως ταῦτά γε τοῖς Ἐπιχαρμείοις ἔοικεν, ἐξ ὧν ὁ αὐξόμενος ἀνέφυ τοῖς

σοφισταῖς λόγος· ὁ γὰρ λαβὼν πάλαι τὸ χρέος νῦν οὐκ ὀφείλει γεγονὼς ἕτερος, ὁ δὲ κληθεὶς ἐπὶ δεῖπνον ἐχθὲς ἄκλητος ἥκει τήμερον· ἄλλος γάρ ἐστιν. adde Plut. de commun. not. p. 1083 a *ὁ τοίνυν περὶ αὐξήσεως λόγος ἐστὶ μὲν ἀρχαῖος· ἠρώτηται γάρ, ὥς φησι Χρύσιππος, ὑπ' Ἐπιχάρμου.*

171 (95 Ahr. 41 Lor)

— ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; — πάνυ μὲν ὦν.
— ἄνθρωπος ὦν αὔλησίς ἐστιν; — οὐδαμῶς.
— φέρ' ἴδω, τί δ' αὐλητάς; τίς εἶμέν τοι δοκεῖ;
ἄνθρωπος, ἢ οὐ γάρ; — πάνυ μὲν ὦν. — οὐκῶν δοκεῖς
οὕτως ἔχειν καὶ περί ⟨γα⟩ τὠγαθοῦ; τό γα
ἀγαθὸν τὸ πρᾶγμ' εἶμεν καθ' αὔθ', ὅστις δέ κα
εἰδῆι μαθὼν τῆν', ἀγαθὸς ἤδη γίνεται.
ὥσπερ γάρ ἐστ' αὔλησιν αὐλητὰς μαθὼν
ἢ ὄρχησιν ὀρχηστάς τις ἢ πλοκεὺς πλοκάν,
ἢ πᾶν γ' ὁμοίως τῶν τοιούτων ὅ τι τυ λῆις,
οὐκ αὐτὸς εἴη κα τέχνα, τεχνικός γα μάν.

Diog. L. III 13. 14 *ἔτι φησὶν ὁ Ἄλκιμος* (v. ad fr. 170) *καὶ ταυτί '. . . διὸ καί φησιν* (Plato) *ἐν τῆι φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα· τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει 'ἆρ' ἔστιν . . τεχνικός γα μάν'.*

1 *οὖν*, item 2 et 4 (*οὖν οὐκοῦν*) codd. 4 *ἢ* del. Cobetus 4. 5 *δοκεῖ οὕτως ἔχειν ⟨τοι⟩* GHerm, ego v. 5 *γα* adieci 5 *περί τ' ἀγαθοῦ* codd. 6 *τὸ δὲ πρᾶγμα* codd: correxi 7 *γίγνεται* codd. 8 *γὰρ εἰς τὴν αὔλησιν* P (*εἰ τ. αὐλ.* alii): correxi (scriptum fuit *ἐστὶν*) 9 *ἢ ὄρχησιν* P, *τὴν* post *ἢ* add. P[2] 10 *καὶ πᾶν γ'* Wilamowitz 11 *οὐχ αὐτὸς εἴη χἀ* P: correxi (*οὐκ αὐτὸς* iam Scaliger).

172. 173 (96. 97 Ahr. 42. 43 Lor)

172 *Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον,*
ἀλλ' ὅσσαπερ ζῆι, πάντα καὶ γνώμαν ἔχει.
καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος,
αἰ λῆις καταμαθεῖν, ἀτενὲς οὐ τίκτει τέκνα
ζῶντ', ἀλλ' ἐπώιζει καὶ ποιεῖ ψυχὰν ἔχειν.
τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει
μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

173 *θαυμαστὸν οὐδὲν ἁμὲ ταῦθ' οὕτως λέγειν*
καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν

κάλλιστον εἶμεν φαίνεται, καὶ βῶς βοί,
ὄνος δ' ὄνωι κάλλιστον, ὗς δέ θην ὑί.

Diog. L. III 15. 16 (ex Alcimo, ut fr. 170. 171) *Πλάτων ἐν τῆι περὶ τῶν ἰδεῶν ὑπολήψει . . μνημονεύει τῆς ὁμοιότητός τε καὶ τροφῆς ὁποία τίς ἐστιν αὐτοῖς* (i. e. *τοῖς ζώιοις*), *ἐνδεικνύμενος διότι πᾶσι τοῖς ζώιοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία· διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται. πῶς οὖν ὁ Ἐπίχαρμος; 'Εὔμαιε . . ὕπο'* (172) *καὶ πάλιν 'θαυμαστὸν . . ὑί'* (173).

172, 2 *ὅσαπερ* codd. 5 *ἐπωίζει* P (*ι* in *α* corr. P[2]) *ψυχὴν* codd. 7 *αὖ ταύτας* codd: corr. Porson.

173, 1 *οὐδέν με* P: corr. Ahr. 3 *πεφυκέναι* codd: corr. Ahr.

prius fragmentum ex Ulixe Naufrago petitum videtur, fortasse etiam alterum.

174 (70 Lor)

Et. genuin. (Et. M. 197, 33) *Βιβλίνη ἄμπελος . . Ἐ. δὲ ἀπὸ Βιβλίνων ὀρῶν τῆς Θράικης, ἔνθα φύεται, λελέχθαι αὐτὴν οἴεται.* cf. Athen. I p. 31 a. Steph. B. p. 168, 10. Geffcken de Steph. B. p. 16.

175 (105 Lor)

Et. gen. (Et. M. 197, 54) *Σώφρων καὶ Ἐ. τὸ βαπτίζω βιπτάζω λέγουσιν. Ἡρωιδιανός.* Hesych. s. v.

176. 177

Et. gen. (Et. M. 199, 52) *βλείς· Ἐπίχαρμος τυροβλείς* (176). *φασὶν οἱ μὲν ἀπὸ τοῦ βληθείς, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ θ βλείς. ἢ ἀπὸ τοῦ βλῆμι ὁ δεύτερος ἀόριστος ἔβλην, οἷον πόθεν δὲ ὠλκὸς εὐπετὲς ἔβλης* (177), *ἡ μετοχὴ βλείς . . οὕτως Ἡρωιδιανὸς Περὶ παθῶν.* eadem fere s. v. *βλεῖμην,* ubi in Epicharmi verbis *δ' ἑωλκὼς εὐπεὲς* cod. B.

176 incerta emendatio, velut *ψύρον* vel *τυτθὸν βλείς.*

177 scribendum videtur *πόθεν δ' ἑολκὼς εὐπετὲς | ἔβλης;* forma ab *ἕλκω* ducta ut *ἔολπα* ab *ἔλπομαι.*

178 (116 Lor)

Et. gen. (Et. M. 393, 1) *εὔληρα . . παρὰ δ' Ἐπιχάρμωι αὔληρα εἴρηται, παρὰ τὸ αὐλόν, τὸ ἐπίμηκες, ἵν' ἦι τὰ ἐπιμήκη.* Hesych. *αὔληρα, αὔληρον.*

179 (165 Ahr. 117 Lor)

Et. gen. (Et. M. 420, 47) *ἥδυμος . . Ἐπίχαρμος*

ἅμα τε καὶ λόγων ἀκούσας ἁδύμων . .

ἅμα τε om. Et. M. *ἅμα δὲ* Nauck. *καὶ* om. Zonar. I 975.

*180

Et. genuin. (cf. Et. M. 491, 52) *καρκίνος ζῶιον θαλάσσιον.*

καρκίνος . . ἦνθ' ἐκ βυθοῦ θαλασσίου.

Epicharmo tribuit Meinekius (Hermae III 454); quod si verum, e Musis fortasse verba petita, cf. fr. 53. potest tamen poeta de cancro Herculis dixisse ut Plato Euthyd. p. 297 c *πολὺ γάρ πού εἰμι φαυλότερος τοῦ Ἡρακλέους, ὃς οὐχ οἷός τ' ἦν τῆι τε ὕδραι διαμάχεσθαι . . καὶ καρκίνωι τινὶ ἑτέρωι σοφιστῆι ἐκ θαλάττης ἀφιγμένωι, νεωστὶ ἐμοὶ δοκεῖν καταπεπλευκότι.*

ἔνθ' codd: *δ' ἦνθ'* Meinekius; possunt alia fieri velut *κ. δ' ὅδ' ἐνθὼν κτλ.*

181 (133 Lor)

Et. gen. *κοκρύδες· παρὰ τὴν* (*τὸ* B) *κρόκην. κρόκυς γὰρ* (*γὰρ* om. A) *κρόκυδες* (*κόκρυδες* A, om. B). *Ἐπίχαρμος τὴν χρῆσιν.* Cram. An. Par. IV 74, 22 *κοκρύδες· παρὰ τὴν κρόκην κροκὶς κροκίδος κροκίδες. Ἐ. τὴν χρῆσιν.*

182

Et. gen. cod. A in append. litt. *Δ λῆμα καὶ λῆμμα* (l. *λῆμμα καὶ λῆμα*), *οἷον τὸ θέλημα. Ἐπίχαρμος*

ἀλλὰ χρὴ εἴμειν ἕν τε λῆμα πᾶσι καὶ λῆσιν μίαν.

χρὴ ἡμῖν ἕν τε χρῆμα π. καὶ κλῆσιν μ. cod: *λῆμα* Reitzenstein, reliqua ego correxi. Hesych. *λῆσις· βούλησις.* de crasi v. Rhesi v. 685 *χρὴ εἰδέναι.*

183

Et. gen. *λίτες· τὸ δὲ λίτες παρ' Ἐπιχάρμωι ἐνδελίτες ἐστὶν καὶ ἐνλίτες* (sic A: *ἐστιν καὶ ἐν λιταίοις καὶ λίτες* B). *ὥστε μὴ εἶναι ἀφαίρεσιν δύο συλλαβῶν. ἐνδελίτες, ἆρον τὴν μέσην, ἐνλίτες, εἶτα λίτες. οὐκ ἄρα ἀφαίρεσις δύο συλλαβῶν.* Theognost. p. 162, 31 *τὰ εἰς* $\overline{ες}$ *λήγοντα ἐπιρρήματα ἁπλᾶ φυσικῶς οὐκ ἔστιν ὅτι μὴ τὸ ἐχθές δισύλλαβον καὶ χθές μονοσύλλαβον, καὶ ἐνδελιστές ὀξύτονον παρὰ Συρακοσσίοις, ὃ καὶ ἐλλιστές λέγεται.* Hesych. *ἐνδελιπές· παντελές.* tractavit haec Reitzenstein Ind. l. Rost. 1891/92 p. 13. Epicharmus dixit et *ἐνδελιτές* et *ἐλλιτές.*

184 (118 Lor)

Et. gen. *Ῥαικός· Ἐπίχαρμος. Φιλόξενος δὲ εἶναι Γραικός, καὶ ἀποβολῆι τοῦ* $\overline{γ}$ *Ῥαικός* (Zonar. II 1603). Hesych. *Ῥαικός· Ἕλλην. Ῥωμαῖοι δὲ τὸ* $\overline{γ}$ *προσθέντες Γραικόν φασι.* Phot. *Ῥαικούς· οἱ βάρβαροι τοὺς Ἕλληνας.*

185 (166 Ahr. 107 Lor)

Et. gen. (Et. M. 736, 26) *ἀλλὰ τὰς κλεινὰς Συρακοῦς, ἀποβολῆι τῆς* $\overline{ας}$ *συλλαβῆς* ⟨*ἐκ τοῦ* add. Et. M.⟩ *Συρακούσας. εἰ δέ τις εὐθεῖαν θέλει ποιεῖν ἡ Συρακώ, ἐστὶ γενικὴ τῆς Συρακοῦς.* Strabo VIII p. 364 *Ἐ. δὲ . . Συρακὼ τὰς Συρακούσας.* Epicharmus dixit

ἀλλὰ τᾶς κλεινᾶς Συρακοῦς.

καὶ pro *ἀλλὰ* Et. M.

186 abcd (122 Lor)

187 (86 Lor)

Eust. p. 1676, 38 *θυσία τριττύα λέγεται παρὰ τοῖς παλαιοῖς, οἳ τριττύαν ἔλεγον τὴν ἐκ τριῶν ζώων θυσίαν, οἷον δύο μήλων καὶ βοός, ὡς 'Ε.* Pausaniae videtur glossa, cf. Eust. p. 1386, 47 (p. 148 Schwabe). Epicharmus, nisi in nomine eius erratum est, *τρικτύα* potius dixit, cf. Sophronis fr. 2 et Hesych. *τρικτύα*, Schneider ad Callim. fr. 403.

188 (121 Lor)

Herodian. dict. solit. p. 37, 4 *τὰ εἰς σσων λήγοντα συγκριτικὰ δισύλλαβα εἰ ἔχοι πρὸ τέλους τὸ ᾱ, συνεσταλμένον αὐτὸ ἔχει . . ἔνθεν παρ' Ἐπιχάρμωι τὸ βάσσον.* Et. gen. (Et. M. 191, 8) *παρὰ τὸ βάθος γίνεται βαθύτερος βαθίων, ὁ τρίτος τύπος βάσσων, ἔνθεν καὶ παρ' Ἐπιχάρμωι*

βάσσον τὸ χωρίον.

ἀντὶ τοῦ βαθύτερον, εὔγειον (haec extrema om. Et. gen.).

189 (120 Lor)

Herodian. dict. solit. p. 41, 31 *διὸ καὶ τὸ ζόος παρ' Ἐπιχάρμωι οἱ πλείους ἐβάρυναν*

τρὶς ἀπεδόθη ζόος.

ἀνεδόθη Bergk de homine dictum existimans, qui pythagorice ter ad vivos redierit.

190 (126 Lor)

Herodian. de verbis in *μι* (Cram. An. Ox. IV 339, 20) *πολὺ δὲ τοιοῦτον ἔθος* (de perfectis in *ω* loquitur) *παρὰ Συρακοσίοις, καὶ τὸ κέκλυκε δὲ παρ' Ἐπιχάρμωι ἀπὸ θέματος τοῦ κεκλύκω, καὶ εὕρηκε ἀπὸ τοῦ εὑρήκω.* Epimer. Hom. Cram. An. Ox. I 374, 24 *ἀπὸ τοῦ δέδοικα δεδοίκω, ὄλωλα ὀλώλω. ταῦτα συνεχῶς παρὰ ⟨Συρα⟩κουσίοις, ἀλλὰ καὶ παρ' ἡμῖν ἕστηκα ἑστήκω κτλ.* ibid. 212, 25 *ἀπὸ δὲ τοῦ παρακειμένου τοῦ ἧκα γίνεται κατὰ Συρακουσίους ῥῆμα ἥκω, ὡς πεποίηκα πεποιήκω* (Et. M. 470, 50). Siculis tribuuntur *λελάθω* et *πεποιήκω* formae Et. M. 323, 2. quae dubito an Epicharmi fuerint omnia.

191 (102 Lor)

Hesych. *ἄγκυρα· τὸ αἰδοῖον παρὰ Ἐπιχάρμωι.* item An. Bekk. 209, 27.

*192

Hesych. *ἄρτυεν ὁ Τιτάν. ἄρτυεν ἀντὶ τοῦ διέτασσεν, ἐβασίλευεν.* hinc *ἀρτῦναι* vel *ἀρτῦνοι* Argivorum et Epidauriorum magistratus. Epicharmi esse coniecit Wilamowitz.

193 (88 Lor)

Hesych. *βλιτάχεα παρ' Ἐπιχάρμωι. οἳ μὲν τὰ κογχύλια, οἳ δὲ τὰ ὑφ'*

ἡμῶν σελάχια. nisi forte scribendum βαιτάχεα vel βαρτάχεα. sequitur apud Hesychium βλίταχος· βάτραχος. contrarium mendum An. Bekk. 84, 17 βαίτων καὶ βαιτάς· ἀντὶ τοῦ μωρός ἢ μωρά. et βλίτων et βλιτάς (Hesych) Italiotarum fortasse vocabula, *bliteus* enim Plautinum.

194 (87 Lor)

Hesych. κάμπη· κῆτος παρὰ Ἐπιχάρμωι. cf. fr. 115.

195 (111 Lor)

Hesych. καπνοκορτυάζεται· σκιρτᾶι. παρ' Ἐπιχάρμωι. si quid mutandum, satis erit καπνοκορθυάζεται scribere, cf. Hesych. κορθύεται· εἰς ὕψος αἴρεται.

*196 (112 Lor)

Hesych. λυκόστρατος· ὁ μόναρχος παρὰ ἱπποχάρμωι (Ἐπιχάρμωι Salmasius). glossam inter λυκόποδες et λύκος positam non intellego.

197 (113 Lor)

Hesych. ῥογκιῆν· ῥέγκειν. Ἐπίχαρμος.

198 (101 Lor)

Hesych. σαμαίνεται· σφραγίζεται. παρὰ Ἐπιχάρμωι.

199 (119 Lor)

Hesych. ψύλλα . . ἐστὶ δὲ καὶ ὄνομα ζωυφίου μικροῦ. ἀρρενικῶς [ὥς] φησιν Ἐ. schol. Arist. Plut. 538 οἱ δὲ Δωριεῖς ἀρσενικῶς λέγουσι τὸν ψύλλον. Phryn. p. 332 L ψύλλος βάρβαρον. cf. Photius alii.

200 (95 Lor)

Philemo p. 194 Os. χάλις ὁ οἶνος λέγεται . . Ἐ. δέ φησι τὸ χαλιμάζειν (-κάζειν cod) ἀντὶ τοῦ ὑφ' ἡδονῆς ἀνίεσθαι πρὸς συνουσίαν καὶ ὑποστέλλειν. similia sed non memorato Epicharmo Et. M. 805, 9. Et. genuin. cod. B χαλιμάζειν τὸ περὶ τὰς συνουσίας πείθεσθαι (ἐπτοῆσθαι?). incertum quae fides habenda sit Philemoni.

201 (57 Lor)

Philodemus de vitiis VH[1] III f. 49. Ox. I 102, 4 (Aristot. Oecon. p. 61 Goettl) δεῖ δὲ τὸν μέλλοντα καὶ συνάξειν τι καὶ τὸ συναχθὲν φυλάξειν μὴ τὸ παρὸν εὖ ποιεῖν. κατ' Ἐπίχαρμον . . προνοεῖν δὲ καὶ τοῦ μέλλοντος. καὶ γὰρ νῦν εὐέλπιδας ποιεῖ καὶ παρὸν γινόμενον εὐφραίνει κτλ. idem VH[2] IX f. 198 εἰ μὴ κατ' Ἐπί⟨χαρμον⟩ εὖ π⟨οιεῖν⟩ τὸ παρὸν μ⟨έλλει⟩ ἀλλὰ καὶ τοῦ (TOT ms) μέλλον⟨τος⟩ . . προνο⟨εῖν⟩.

202 (96 Lor)

Phot. Suid. καρδιώττειν· τὴν καρδίαν ἀλγεῖν. Σικελιῶται δ' ἡμεῖς βουλιμιᾶν. Ἀπολλόδωρος ἐν ϛ' περὶ Ἐπιχάρμου τοὺς Σικελιώτας φησὶν τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ καρδιώττειν λέγειν. cf. Poll. II 217. videtur ipse Epicharmus dixisse καρδιώσσειν.

203 (94 Lor)

Phot. ὀγκίαν· τὸν σταθμόν. Σώφρων καὶ Ἐ. Antiatt. Bekk. 110, 22, ubi οὐγκίαν. v. ad fr. 9. 10.

204 (89 Lor)

Phot. ῥάφανον· τὴν ῥαφανῖδα. Ἐπίχαρμος. fort. ῥάφαν scribendum, cf. Hesych. ῥαφανίς . . Τρύφων δέ φησιν παρὰ Δωριεῦσι τὰς μικρὰς ῥαφανῖδας λέγεσθαι, τὰς δὲ μεγάλας ῥάφας.

205 (110 Lor)

Phot. Suid. ῥησός· ἀρχός, ὃς αἱρέσει τὰ θέσφατα, παρ' Ἐπιχάρμωι. ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηται ἢ ὡς Ἀσκληπιάδης ἐν ϛ' Τραγωιδουμένων ἄριστον αὐτὸν γεγονέναι τὴν ἀλήθειαν εἰπεῖν· ἐγένετο δὲ καὶ ἕτερος. eodem auctore Hesych. omissa Epicharmi mentione, ubi sic traditum ῥησόσαρχος ὃς ῥέει τ. θ. apud Suidam sic ῥησίαρχος ὃς ἐρέει τ. θ. Asclepiades Rhesi nomen explicat (Rhes. 970 sqq), Epicharmus vero videtur Italiotica quadam regis vocabuli forma usus esse (de quo voc. v. Kretschmer Einleit. in d. Gesch. d. griech. Spr. p. 126), ita ut regem sacrificulum significaret ὃς ἀναιρεῖ τὰ θέσφατα.

206 (97 Lor)

Phot. Suid. σικελίζειν· τὸ ἀτηρεύεσθαι (sic etiam Hesych. s. v, αὐστηρεύεσθαι Suid) παρ' Ἐπιχάρμωι. οἱ δὲ πονηρεύεσθαι. sed Athen. I 22 c σικελίζειν τὸ ὀρχεῖσθαι παρὰ τοῖς παλαιοῖς. an fuit ⟨ἐγ⟩κιλικίζειν· πονηρεύεσθαι, ut verba οἱ δὲ πονηρεύεσθαι non tam altera sint interpretatio quam corrupti prioris verbi emendatio. cf. Et. M. 310, 54. Hesych. ἐγκιλικίζεται.

207 (161^b Ahr. 90 Lor)

Phot. συκάμινα . . τὰ δὲ μόρα Δώριον μᾶλλον. Ἐπίχαρμος

μόρων νέον τὸ φυτόν.

cf. Athen. II 51 b. τὸ φῖτυ Bergk, coll. Hesych. s. v.

208 (104 Lor)

Phot. συνθυμεῖν (-θυμοι cod)· συμπείθεσθαι. οὕτως Ἐ. cf. Hesych.

209 (129 Lor)

Phryn. (p. 108 L) e cod. Laurentiano apud RSchoellium Act. min. acad. Monac. 1893 II 510 γενηθῆναι· ἀντὶ τοῦ γενέσθαι παρ' Ἐπιχάρμωι, καὶ ἐστὶ Δώριον· ἀλλ' ὁ ἀττικίζων γενέσθαι λεγέτω. petitum videtur e Pseudepicharmeis.

210 (130 Lor)

Poll. IV 56 *καὶ ἐρετικὰ δή τιν' αὐλήματα καὶ ποιμενικά. 'Ε. δὲ καὶ ποιητικόν τι μέλος αὐλεῖσθαί φησιν, Πλάτων δὲ ὁ κωμικὸς καὶ συβωτικόν . . Τυρρηνοὶ δὲ τῶι 'Αριστοτέλους λόγωι οὐ πυκτεύουσιν ὑπ' αὐλῶι μόνον ἀλλα καὶ μαστιγοῦσιν καὶ ὀψοποιοῦσιν.* Epicharmus videtur *πυκτικὸν μέλος* memorasse, fort. in Amyco fabula.

211 (91 Lor)

Poll. VI 90 *καὶ 'Ε. δὲ τὴν ἔγχελυν πατάνεψιν εἴρηκεν.*

212 (109 Lor)

Poll. VII 183 *οἱ μὲν 'Αττικοὶ ἐπιστάτας ἔργων λέγουσιν, 'Ε. δὲ καὶ ἐργεπιστάτας.*

213

Rufus Eph. de part. hom. 78. 79 p. 143 Daremb. *ἀγκὼν τὸ σύμπαν ἄρθρον, καὶ τὸ ὀξὺ ἐπὶ οὗ κλινόμενοι στηριζόμεθα. οἱ δὲ ὀλέκρανον καλοῦσιν, Δωριεῖς δὲ οἱ ἐν Σικελίαι κύβιτον· 'Επίχαρμος δὲ καὶ τὸ παίειν τῶι ἀγκῶνι κυβιτίζειν ἔλεγεν.* exscripsit Poll. II 141. Phot. *κύβιτον· Ἴωνες τὸ ἄκρον τοῦ ἀγκῶνος· οὕτως 'Επίχαρμος,* quae turbata sunt. Hesych. *κυβιτίζειν.*

214 (50 Lor)

Schol. Aesch. Eum. 616 *τιμαλφούμενον· συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλωι· διὸ σκώπτει αὐτὸν 'Ε.* nisi forte in Atalantis fabula Aeschyleum vocabulum ridebatur, de qua v. supra p. 93.

215 (61 Lor)

Schol. V Arist. Pac. 344 *συβαρίζειν ἀντὶ τοῦ τρυφᾶν. πεποίηται παρὰ τὰ Συβάρεια ἐπιφθέγματα, ἅπερ ἔστι παρ' 'Επιχάρμωι, ἢ παρὰ τὴν τῶν Συβαριτῶν τρυφήν.* Suid. *Συβαριτικαῖς,* ubi codd. deter. *ἀποφθέγματα,* fortasse recte, cf. schol. Ar. Av. 471.

